


ГОСУДАРСТВЕННАЯ ПУБЛИЧНАЯ БИБЛИОТЕКА
В ЛЕНИНГРАДЕ

СЕРИЯ V: ORIENTALIA. № 2.

Академик Ф. И. Успенский и проф. В. Н. Бенешевич

ВАЗЕЛОНСКИЕ АКТЫ

МАТЕРИАЛЫ ДЛЯ ИСТОРИИ КРЕСТЬЯНСКОГО И МОНАСТЫРСКОГО ЗЕМЛЕВЛАДЕНИЯ В ВИЗАНТИИ XIII—XV ВЕКОВ


Th. Ouspensky et V. Bénéchévitch
Membre de l'Académie des Sciences de l'USSR — Professeur

ACTES DE VAZÉLON

MATÉRIAUX POUR SERVIR À L'HISTOIRE DE LA PROPRIÉTÉ RURALE ET MONASTIQUE À BYZANCE AUX XIII—XV SIÈCLES



ЛЕНИНГРАД — LENINGRAD
Издание Государственной Публичной Библиотеки
1927



ГОСУДАРСТВЕННАЯ ПУБЛИЧНАЯ БИБЛИОТЕКА
В ЛЕНИНГРАДЕ

СЕРИЯ V: ORIENTALIA. № 2.

Академик Ф. И. Успенский и проф. В. Н. Бенешевич


ВАЗЕЛОНСКИЕ АКТЫ

МАТЕРИАЛЫ ДЛЯ ИСТОРИИ КРЕСТЬЯНСКОГО И МОНАСТЫРСКОГО ЗЕМЛЕВЛАДЕНИЯ В ВИЗАНТИИ XIII—XV ВЕКОВ

Th. Ouspensky et **V. Bénéchévitch**
Membre de l'Académie des Sciences de l'USSR
professeur

ACTES DE VAZÉLON

MATÉRIAUX POUR SERVIR À L'HISTOIRE DE LA PROPRIÉTÉ RURALE ET MONASTIQUE À BYZANCE AUX XIII—XV SIÈCLES







ЛЕНИНГРАД — LENINGRAD
Издание Государственной Публичной Библиотеки
1927



Печатается по распоряжению Директора Государственной Публичной Библиотеки в Ленинграде

Ученый Секретарь *В. Банк.*

26 марта 1927 г.

Ленинградский Гублит № 25180. — 17 1/2 печ. л. — Тираж 615.


Государственная Академическая Типография. В. О., 9 линия, 12.

Второму Международному

Конгрессу Византинистов

посвящают свой труд

Федор Успенский. Владимир Бенешевич.



ПРЕДИСЛОВИЕ.

Наследие от прошлых веков, сохранившееся в Государственной Публичной Библиотеке в виде небольшой греческой рукописи, восстановляет перед нами языком длинного ряда документов интимную жизнь сельского обывателя со всеми ее заботами и ежедневными мелочами на маленькой территории, находившейся в зависимости от Вазелонского монастыря близ Трапезунта. Военные события минувшей европейской войны роковым ударом разразилась над этой маленькой территорией: монастырские здания погибли, и библиотека, как нам довелось слышать, без следа пропала. Рукопись Публичной Библиотеки, к счастью, сохранила нам копию Вазелонских актов, и мы несколько раз обращались к изучению заключающегося в них любопытного материала, постепенно входя в жизнь небольшого числа деревень, окружающих монастырь, и проникаясь ее интересами. Нельзя достаточно оценить научное значение Вазелонских актов, как свежего материала, могущего быть руководящим для исследователей в области социальной и экономической истории средневековья, в частности византийского, и только ряд неблагоприятных обстоятельств не позволил нам, к сожалению, сосредоточить внимание на этом научном вопросе в той мере, какую он заслуживает.

Получив от Директора Государственной Публичной Библиотеки академика Н. Я. Марра предложение приготовить Вазелонские акты к изданию, мы охотно взялись за эту сложную работу и старались соединенными силами осуществить предприятие, вложив в него как наш коллективный опыт, так и совокупное сознание важности предлагаемого материала.

Ф. Успенский, В. Бенешевич.

Марта 11 дня
1927 г.

Текст Вазелонских актов.

1. 6939/1431 г., инд. 9, (август); л. 1 л.

(+ Μνήσθητι κύριε) καὶ σύγχωρει (τοὺς δούλους σου) τοὺς πανυπερσεβάστους Ἰω(άννην καὶ....) μετὰ τῆς συμβίου καὶ τῶν τέκνων αὐτοῦ (δι' εὐχῶν) τοῦ τιμίου Προδρόμου καὶ βαπτιστοῦ (Ἰωάννου τοῦ) Ζαβουλῶν. καὶ τάξον αὐτοὺς ἐν τοῖς κόλποις τοῦ πατριάρχου Ἀβραάμ, ἐν τῇ τῶν δικαίων μερ(ίδι) καὶ ταῖς τῶν ἁγίων σου σκηναῖς καὶ τῆς εὐκταίας ἀκοῦσαι φωνῆς σου τὸ δεῦτε οἱ εὐλογημένοι καὶ τὰ ἑξῆς. ὅστις (ἐ)δ(ωρήσατο εἰς) τὴν καθ' ἡμᾶς εὐαγεστάτην μονὴν (τοῦ τιμίου Προδρόμου) τοῦ Ζαβουλῶν τὴν φυλακη (............) τῶν ἁγίων ἡμῶν καὶ (....)

ἐν μηνὶ (αὐγούστῳ) ἰνδικτιῶνος θ' τοῦ ,ςϠλθ' ἔτους +

8 буквы *φυλακη* переправлены реставратором в *αλαξη*.

2. 6943/1434 г., инд. 13, 9 сентября; л. 1 об.—2 л. (п. и.); см. табл. 1.

|(+ Εἰς τὸ ὄνομα) τοῦ πατρὸς καὶ τοῦ υἱοῦ (καὶ τοῦ ἁγίου πνεύ- 1 об.
ματο)ς.

κἀγὼ ἱερομόναχ(ος Ἰωάσαφ ὁ Ὁμ)οχωρίτ(ης) οἰκείᾳ μου βου(λῇ καὶ θελήσει καὶ α)ὐτοπροαιρέτῳ γνώμῃ (παραδίδω) τὸ γονικόν μου τὸ ἐν (το..σα...) χωρίῳ Καλάκ(η) τὸ ἐπιλεγόμενον (.....) τὸ συνκεκολλημένον τοῦ (τιμίου Προδ)ρόμου ὑπὲρ ψυχικῆς σωτηρίας μ(ου.....) ευτικῷ τρόπῳ. καὶ οὐκ ἔχει ἄδειαν κανεὶς ἐκ τοῦ μέρους μου εἴτε οἱ παῖδες καὶ κληρονόμοι μου εἰς τὸν αἰῶνα τὸν ἅπαντα ἐνοχλ(ῆσαι ἢ (κυ)νίσαι ἐπ' αὐτῷ. καὶ ὁ βουλόμενος ἐνοχλήσειν ἢ διασείσειν τοῦ-
|τον ἐχέτω τὰς ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων 2 л.
πατέρων. καὶ πάλιν ἔστω στέργον καὶ βέβαιον ἡ παροῦσα ἡμῶν ληγατευτικὴ γραφή.

ἐν μηνὶ σεπτε⟨μ⟩βρίῳ εἰς τ(ὴν) θ' ἰνδικτιῶνος ιγ'.

καὶ οὐκ ἔχει ἄδειαν κανεὶς ἐκ τοῦ μέρου⟨ς μου⟩ ἀποσπάσαι αὐτὸ ἐκ τὸν τίμιον Πρόδρομον οὔτε συγγενέσι οὔτε ἐκ τοὺς κληρονόμους μου.

ἐπὶ ἔτους ,ςϠμγ'.

Ἰωάσαφ ἱερομόναχος ὁ Ὁμοχωρίτης ὑπέγραψε.

9 *κυνίσαι* можно понять, как *κινῆσαι*.

3. XV века; л. 2 л. (п. и.); см. табл. 1.

+ Εἰς τὸ ὄνομα τοῦ Χριστοῦ.

κἀγὼ ἡ Μαρούλα ἡ Τζιληπηνόπουλος ἐπηκακα πάλιν νὰ δουλεύω εἰς τὸν τίμιον Πρόδρομον καθ' ἕκαστον χρόνο⟨ν⟩ κριθ(άριν) ἕνα ψωμιάρι.

2 *επηκακα* ркп.: не есть ли это *ἐπὶ κακὰ* или *ἐπῆγα καί*?

4. XV века; л. 2 об. (п. и.); см. табл. 2.

2 об. *|(Ταῦ)τα εἰσιν τὰ χωράφια (. . . .)*
εἰς τὸ Ἀχαντηόνι
⟨εἰς⟩ τὸ Καλοϊωανέσι
εἰς τὰ Τζιμίλια
εἰς τὸ Ῥιμί εθεν
εἰς τὸ Σκάλι Καναβοργη

1 конец первой строки срезан; почерк в **4** тот же, что в **3**.

5. XV века; л. 2 об. (п. и.); см. табл. 2.

+ Εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

κἀγὼ ἐγὼ Τηβράνω Κωσταντῖνος καὶ ἡ σύνβιο⟨ς⟩ μου Παχᾶ ἡ
τορα μα τανον
Τζουλουπόπουλος εἴχανε με τὸν υἱόν μου Ταβῆ διὰ τὸ δε καπε εἰς τὴν Χάναν οἱ καλογέρε τοῦ Βαζελ(ων) καὶ ἐστάθεν Ἐλαφοϊω(α)ν-νας καὶ ὁ Γαριότης ὁ κῦρ Θεόδωρ(ος) καὶ ἐσιδιβασαν καὶ ερ ἄσπρα καὶ ἐπαιδεύεν το Ταβοί καιπιν καὶ αια ου χουνο θ(εὸ)ς να συνχωρει τοὺς γενα(. . .)ν αυτον που εποι⟨η⟩καν (. . . . . .).

3 *τηβράνω* читается ясно.

3—9 чтение отдельных букв и слов возможно, но смысл остается неясным, о нем можно лишь догадываться; почерк в **5** не тожествен с **6**, но имеет общие с ним черты и принадлежит немногим более позднему времени.

6. XV века; л. 3 л. (п. и.); см. табл. 2.

|<+> *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ <τῆς> ἀληθῶς ὑπερευλογημένης θεοτόκου καὶ ἀ<ει>παρθένου Μαρίας.* 3 л.

κἀγὼ ἐγὼ ὁ Τιλαντζῆς ἐπικα Ταβήν με τοι Μαστίρην δι<ὰ> τὴν Χαμελέτεν ἀπάνου καίσου δ(......χα) ἐπαίδευβα το Ταβη θεὸς νὰ συγχωρῇ τὸν κῦριν του καὶ δόξα τοῦ Προδρόμου νὰ βοηθᾷ ἐκεῖνον καὶ τὰ παιδία του καὶ τοῦ Αὐλλήτα τὸ μερτικόν. ὁμοίως ὁ θεὸς νὰ συγχωρῇ τοὺς γονεῖς τῶν Αὐλιανιταντάντων.

κατὰ μαρτυρ(ίας) τῶν ἐκεῖσε τυχόν<των>· Θεοδόσις διάκονος. Κυροακὸς διάκονος καὶ ἕτεροι πολ<λ>οί. Ξένος Κω<ν>σταντῖνος ὁ Μιχάλης. Στέφανος <ὁ> Χαψ(ᾶς).

7. 6990/1482 г.; л. 3 об. (п. и.).

|*(Σί* | *γνον Κατα-)* 3 об.

φυγὴ | *τῆ<ς> Σκουλαρόπουλος·*

+ *Ἐν ὀνόματι τοῦ πάτρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ <τῆς> κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.*

κἀγὼ ἡ Καταφυγὴ ἡ Σκουλαρόπουλος κατὰ κόσ(μον) Σαγματαγβα οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας, ἀλλὰ μετὰ πάσης μου βουλῆς καὶ θελήσεως καὶ αὐτοπροαιρέτου γνώμης παραδίδω τὸ γονικόν, τὸ ἔχω εἰς τὴν Γεμουράν, τὸ ἔχω με τὸν Καζόνην. τὰ ἕτερα ὅσον με διαφέρει, τὸ ἔχω πατρικόν μου. τ(ὸ παραδίδω) εἰς τὸν τίμιον καὶ ἅγιον Πρόδρομον ὑπὲρ ψυχικῆς σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν μου καὶ τοῦ υἱοῦ μου καὶ τῶν γονέων μου. καὶ ὁ βουλόμενος ἐνοχλήσει<ν> νὰ ἔχει τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως, καὶ ὡς ὁ Ἰούδας κατακριθήσεται. καὶ <ἡ> παροῦσα γραφὴ τὸ στέργον ἔξοι.

,ςϡϟ'.

μάρτυρας Ἀνδρόνικος ὁ Στρατήγης ἰδιο(χείρως ὑπέγραψε).

16 конец последней строки (после *Στρατήγης*) занимает в конце л. 3 об. почти две последних строки, на которых видны с трудом остатки букв.

8. (6943/1435 г.), инд. 13, июль; л. 4 л.

4 л. |(Σίγνον | Μηστρὴ)
τῆς | Χαρσινιτόπ(ου)λ(ος).

✢ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

κἀγὼ Μηστρὴ ἡ Χαρσινιτόπ(ου)λ(ος) οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας, ἀλλὰ μετὰ πάσης μου βουλῆς καὶ θελήσεως καὶ αὐτοπροαιρέτου γνώμης παραδίδω τὸ γονικόν μου τὴν μοῖραν μου ὅλην, ὅπερ περιῆλθε μοι διὰ κληρονομίας παρὰ τοῦ ἀνδρός μου Γρηγορίου τοῦ Πολίτου, εἰς τὸν τίμιον καὶ ἅγιον Πρόδρομον ὑπὲρ ψυχικῆς μου σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν μου καὶ τοῦ συζύγου μου. καὶ ὁ βουλόμενος ἐνοχλῆσαι τὴν παροῦσαν μου ψυχικὴν δωρεὰν ἐχέτω τὸν Πρόδρομον μαχόμενον ἐν ἡμέρᾳ κρίσεως καὶ ὡς ὁ Ἰούδας κατακριθήσεται. καὶ πάλιν ἡ παροῦσα μου (γραφὴ τὸ) στέργον ἕξει.

ἐν μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ιγ' (ἔτους ͵ςϡμγ').

Ἰω(άννης) ὁ Μαστορόπ(ου)λ(ος). Ἀκάκιος μοναχός. Μιχαὴλ μοναχός. (.......) Ἰωάννης ὁ Τι(.)γας.

✢ ὁ ἡγούμενος Μακάριος ἱερομόναχος.

9. Около 6943/1435 г.; л. 4 об.

4 об. |✢ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

κἀγὼ ὁ ἐν ἱερεῦσιν Κωνσταντῖνος ὁ Ψωμιάρης δέδωκα εἰς τὸν τίμιον Πρόδρομον τοῦ Ζαβούλων τὴν μοῖραν τὸ ἐναύλιόν μου, ὅσον καὶ διαφέρει με ἀπὸ τοὺς ἀδελφούς μου ἤγουν τὴν τρίτην μοῖραν ὅπερ κατάκειται πλησίον τοῦ ἁγίου Ἰωάννου τοῦ Τρυφ(εντ)ίου, ὑπὲρ ψυχικῆς μου σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν μου καὶ τῶν γονέων μου. ὀφείλει δὲ τελεῖν ἕνεκεν τούτου καθ' ἕκαστον ἐνιαυτόν, ὁπόταν καματευθῇ καπάλιν φάβατον, ἡμίσ(εια) ψωμιαρὶς, ἀνεγκρατήτως. δέδωκα δὲ καὶ μὲ τοὺς ἀδελφούς μου πάλιν εἰς τὸν τίμιον Πρόδρομον βοῦν ἕν. οἷος δὲ ἐκ τοῦ γένους μου θέλει ἀνατρέψαι

τὴν παροῦσαν μου δωρεάν, ἐχέτω τὸν Πρόδρομον μαχόμενον ἐν ἡμέρᾳ κρίσεως.

(.........).

5 *Τρυφεντίου]* П.-К. читал *Τριφυλλίου,* но возможно, что окажется правильным третье чтение. 8 *ἡμίσ(εια...) ψωμιαρὶς]* П.-К. читал *ὁλομερῶς καί.* 12 после *κρίσεως* выцвела одна строка.

10. Около 6943/1435 г.; л. 5 л.—об.

| + *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος* 5 л. *καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καί ἀειπαρθένου Μαρίας.*

ἐγὼ Χρυσῆ ἡ Καστελιτόπ(ου)λ(ος) μετὰ τῶν γνησίων μου υἱῶν δέδωκα ὑπὲρ ψυχικῆς μου σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν μου καὶ τῶν γονέων μου τὸ καρύδιν ὅπερ ἔχω εἰς τὴν Αἰθέρισαν, τὸ ἐπονομαζόμενον τῆς Λάζανας, ὅσον διαφέρει με ἀπὸ τοὺς ἀδελφούς μου. ὁμοίως καὶ ἐγὼ Εἰρήνη ἡ Ἀρμενόπουλος δέδωκα καὶ ἐγὼ τὴν ἡμίσειαν τοῦ αὐτοῦ καρυδίου ὑπὲρ ψυχικῆς μου σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν μου καὶ τῶν γονέων μου. δεδώκαμεν δὲ αὐτὸ ἡμεῖς αἱ δύο εἰς τὸν τίμιον Πρόδρομον τὸν Βαζελιώτην. οἷος δὲ | ἐκ τοῦ μέρους ἡμῶν εἰς ἀνάζητησιν καὶ ὄχλησιν ἔλθοι τῆς πα- 5 об. *ρούσης ἡμῶν ψυχικῆς δωρεᾶς, εὕροι τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως.*

11. Около 6943/1435 г.; л. 5 об.

+ *Μνήσθητι κύριε καὶ συγχώρησον τὴν ψυχὴν τοῦ δούλου σου Γρηγορίου τοῦ Στρατήγη, ὅστις ἐδωρήσατο εἰς τὴν καθ᾽ ἡμᾶς σεβασμιωτάτην μονὴν τοῦ τιμίου ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου τοῦ Ζαβουλῶν ἄλογον ἕν· ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας συμβίου καὶ τέκνων καὶ τῶν αὐτοῦ γεννητόρων· καὶ ἕξει αὐτὸν προστάτην ἐν ἡμέρᾳ τῆς κρίσεως σὺν τοῖς ἁγίοις (......).*

(.....) ἰαννουαρίῳ (......).

7 выцвела целая строка, из которой можно прочитать только название месяца.

12. Около 6943/1435 г.; л. 6 л. (п. н.).

| + *Ἐγὼ ⟨Ν⟩ικόδημος ἱερομόναχος ὁ Καλτζιβᾶς ἐδώκα μετὰ* 6 л. *πάσης μου βουλῆς καὶ θελήσεως τὸν τόπο⟨ν⟩, τὸ ὅπερ ἔχει εἰς τοῦ*

Χουλίωνος τὸ λεγόμενον Σιδεριώνιν, τὴ<ν> λαχοῦσα<ν> μου μοῖραν εἰς στὴν μονὴν τοῦ τιμίου Προδρόμου περὶ ψυχικῆς σωτηρίας καὶ ἀφέσεως ἁμαρτιῶν μου. καὶ εἴ τις ἀνάτρεπει τὴν θελητική<ν> μου γραφήν, ἵνα ἔχῃ τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως.

κατὰ μαρτυρίας τῶν ἐκεῖσε τυχόντων Εὐγενίου τοῦ Βασῆ καὶ Ἰωάννου τοῦ Χασπούκ(η)· καὶ Χριστοφόρου τοῦ (Γι)αλέα καὶ ἑτέρων πολ<λ>ῶν.

<+ ὁ> γραφεὺς καὶ μάρτυρας Ἰωάννης ὁ Μαστορόπουλος.

13. Около 6943/1435 г.; л. 6 об.; изд. П.-К., 80 № 7, и Пан.

6 об. *| + Εἰς τὸ ὄνομα[ν] τοῦ θεοῦ καὶ πάντων τῶν ἁγίων.*

Ὡς καθὼς καὶ ἐσυνεβιβάσταμ(εν) ἐγὼ ὁ ἡγούμενος Βλάσιος ἱερομόναχος τοῦ Ζαβουλῶν μετὰ ἐσὲν Κυριαζῆν τὸν Καμαχενὸν ὁ καὶ γαυρὼν τῆς Λαζογιανίνας ἐπῆρα ἀπ᾽ αὐτὸν χωράφιον τὸ λεγόμενον τὴν Κυρὰν καὶ ἔδωκα καὶ ἐγὼ αὐτὸν τὸ λωρὶν τὸ ἐνένι εἰς τὸ ἁλώνιν τῆς Λαζογιανίνας τὸ ὅπερ ἔχει ὁ Πρόδρομος ἀπὲ τὸν Γεώργι[ον] τὸν Νομικό[ν]. καὶ οὐκ ἔχει ἄδειαν ποτὲ τὸν καιρὸν ἐνοχλείειν ὁ εἷς τὸν ἕτερον. καὶ ὁ τοῦτο βουλόμενος πρόστιμον ὑποκείσεται ἐν τῷ βασιλικῷ βεστιαρίῳ ἄσπρα φ′.

κατὰ μαρτυρίας τῶν ἐκεῖσε τυχόντων μαρτύρων· Γεδεοῦ ἱερομονάχου· καὶ Ἀκακίου [ἱερομονάχου]· καὶ Λεοντίου μοναχοῦ· καὶ Βασιλείου τοῦ Χαψᾶ· καὶ Θε(ριανοῦ) τοῦ Τζαρούα· καὶ Μιχαὴλ τοῦ Χαλαμάνη· καὶ ἑτέρων πολλῶν.

+ γραφεὺς καὶ μάρτυρας Μιχαὴλ ὁ Φράνκος.

2 *συνεβιβάστημεν* П.-К. 3 *τοῦ Ζαβουλῶν* проп. П.-К. 3 *μετ᾽* П.-К. 4 *γαμβρὸν* П.-К. 5 *ἐγὼ]* далее вставл. *(εἰς)* П.-К. без нужды. 5 *ἐνένι]* *<εν> ἓνι* П.-К. 7 *τῶν καιρῶν* П.-К. 8 *ἐνοχλεῖν* П.-К. 10 *Γεδεοῦ]* *Γεδεὼν* П.-К. 12 *Θεριανοῦ]* *Θεοδώρου* П.-К. 12 *Τζαράου* П.-К. 12—13 *Γαλαμάνη* П.-К. 13 *πολλῶν]* П.-К. и Пан. добавл.: *<ἔτους ͵ςψξδ′>* = 1255/1256. 14 *Φράνκος]* *Φραγκοπούλου* П.-К.

14. Около 6770/1262 г., инд. 5, май; л. 7 л. — об.

7 л. *| + Κωνσταντῖνος ὁ Μουρμοῦ οἰκείᾳ χειρὶ προέταξα.*

+ Ἐγὼ Κωνσταντῖνος ὁ Μουρμοῦ, ὁ τὸν σταυρὸν τοῦ σίγνου μου οἰκειοχείρως ἄνωθεν ἐγχαράξας, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀσφάλειαν τίθημι καὶ ποιῶ ἑκουσίως καὶ ἀμεταμελή-

τως, οὐκ ἔκ τινος ἀνάγκης ἢ χλεύης ἢ ἀρχοντικῆς ἐπικουρίας, ἀλλὰ τῇ ἰδίᾳ θελήσει καὶ προαιρέσει καὶ ὁλοτρόπῳ γνώμῃ ἔδωκα μοδίων δύο γῆν τοπικὴν εἰς τὴν μονὴν τοῦ τιμίου Προδρόμου τοῦ Ζαβουλῶν ἕνεκα ψυχικῆς σωτηρίας τοῦ πατρός μου εἰς τὸν Ἅγιον Βασίλειον ἔγγιστα. καὶ οὐκ ἔχει ἐξουσίαν τις ἐκ τοῦ μέρους μου ὀχλῆσαι αὐτὴν τὴν μονὴν ἕνεκεν τοῦ τοιούτου τόπου. καὶ οἷος ἐκ τοῦ μέρους μου φανῇ εἰς ἀνατροπὴν καὶ ἀθέτησιν τῆς ἀσφαλείας μου, ὀφείλει ἔχειν τὸ ἀνάθεμα. καὶ ἡ παροῦσα μου γραφὴ ὀφείλει ἔχειν τὸ στέργον καί βέβαιον.

παρρησίᾳ τῶν ἐκεῖσε τυχόντων|μαρτύρων· Θεοδώρου τοῦ Σαπούα· 7 об.
Ἰωαννάκη τοῦ Βαλεντζιάκονος· Κωνσταντίνου τοῦ Πελαγιώτου· καὶ ἑτέρων πολλῶν.

μηνὶ μαΐῳ ἰνδικτιῶνος ε΄.

ὁ γραφεὺς Κωνσταντῖνος ὁ Μουρμοῦ ἔγραψα καὶ ὑπεγράφην. +

15. Около 6753/1245 г.; л. 7 об.

+ Ἐγὼ Ξαθάνα ἡ Κουγιάβα ἔδωκα εἰς τὸν τίμιον Πρόδρομον τοῦ Ζαβουλῶν διὰ τὴν ψυχήν μου καὶ τῶν γονέων μου τὸν τόπον, τὸ ὅπερ ἔχω εἰς τοῦ Καν(άκαλη) τῆς Καλῆς τὸ ἀλώνιν, καὶ ἕτερον τὸ ὅπερ ἔχω εἰς τὴν Παλαιοματζούκαν εἰς τὸ Συκάπ(ιν) ἄνωθεν.

κατὰ μαρτυρίας Θεοδώρου τοῦ Κα(φούλη)· Κωνσταντίνου τοῦ Ζεπύρου· καὶ Λέοντος τοῦ Σαλαφούντα· καὶ ἑτέρων πολλῶν.

ἵνα ἔχῃ αὐτὸ ἡ μονὴ καὶ νέμεται (εἰς τὸ) ἑξῆς. καὶ ὁ θεὸς συγχωρήσ(οι) αὐτήν. +

3 *Καν(άκαλη)* представляется чтением ненадежным; П.-К. читал *Καναμπανᾶ*, но такого названия не встречается, а есть *Κανπανᾶ*.

16. Около 6753/1245 г.; л. 7 об. — 8 л.

+ Ἐγὼ Θεοδώρα ἡ Θεοφιλόπουλος ἔδωκα ὑπὲρ ψυχικῆς μου σωτηρίας καὶ τῶν γονέων μου καὶ τῶν ἀδελφῶν μου τόπον, ὅπερ ἔχω εἰς τὴν Παλαιοματζούκαν εἰς τὸ Τζυμπρικέσιν|τὸ πηγάδ(ιν) 8 л.
ἄνωθεν τὸ λεγόμενον Πεγαδάν. ἐὰν δὲ ἔλθῃ τὸ αἰχμάλωτόν μου, προτιμεύει ἵνα κάμνῃ καὶ δίδει εἰς τὸν τίμιον Πρόδρομον τὸν Ζαβουλῶν τὸν ἀπόμοιρον. ὁ δὲ τόπος φθάνει μοδίων τοπικῶν δύο. ὁμοίως ἔδωκα ἐγὼ καὶ τὸ λωρίν, τὸ ὅπερ ἔχω εἰς τὸ Πυργήν, τὸ ἀποσυνοριάζει τὸν Ἀπαράκ(η).

κατὰ μαρτυρίας τῶν τυχόντων μαρτύρων· τοῦ Φωκᾶ ἱερέως τοῦ Τζερτεύη· καὶ Γεωργίου τοῦ Ζαχαρία· καὶ Λέοντος τοῦ Σαλαφούντα· καὶ ἑτέρων πολλῶν. ✠✠

17. Около 6768/1260 г.; л. 8 л.

Σίγνον	*Ἁγνῆς*
τῆς Πρωτοπαπα	*δόπουλ(ος)·*

✠ *Ἐγὼ Ἁγνὴ ἡ Πρωτοπαπαδόπ(ου)λ(ος) ἐπώλησα ἐσὲν παπᾶ Θεόδωρον τὸν ἐξάδελφόν μου τὸν Σαπουὰν τὸ ὀσπίτ(ιν) εἰς Διανίαχαν σὺν τὴν ἕδραν μὲ τὸν τόπον, τὸ κεῖται ἐπὶ δυσμῶν πλησίον τῆς ἕδρας, εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. καὶ οὐκ ἔχει ἐξουσίαν τις ἐκ τοῦ μέρους μου καταγυρεῦσαι τίποτε.* ✠

18. Около 6768—6778/1260—1270 г.; л. 8 об.

8 об. | ✠ *Ἐγὼ Θεοδώρητος ἱερομόναχος ὡς καθὼς καὶ ἐγόρασα τὸν τόπον, ἔδωκα αὐτὸ εἰς τὸν τίμιον Πρόδρομον τοῦ Ζαβουλῶν διὰ τὰς ψυχὰς τῶν γονέων μου καὶ τὸ ἐδικόν μου εἰς τοὺς ἑξῆς καὶ ἅπαντα⟨ς⟩ καὶ διηνεκεῖς χρόνους. ὁ δὲ τόπος ἔνι τὸ ὅπερ ἐγόρασα ἀπὸ τὴν Ἁγνὴν τὴν ἐξαδελφήν μου.*

κατὰ μαρτυρίας τῶν ἐκεῖσε τυχόντων Λέοντος τοῦ Μαστόρου, Λέοντος τοῦ Ζιγανίτ(ου) καὶ Σάβα τοῦ Καρπέτη καὶ ἑτέρων πολλῶν.

τὸ δὲ τίμημα ἔδωκα ἄσπρα (..). καὶ οἷος ἀνήλογος γένηται, ὀφείλει δώσ(ειν) ἀερικὸν ἄσπρα ρ΄. ✠

19. Около 6768/1260 г.; л. 8 об. — 9 л.

✠ *Ἐγὼ Πανκράτιος ὁ Σαλαφούντας ἔδωκα ἐσὲν παπᾶ Θεόδωρον τὸν γαμβρόν μου τόπον τὸ Λεγνάκην ἀντὶ τοῦ ἀλόγου καὶ τῶν κρικίων. καὶ ἀφῆκα καὶ ἐγὼ ὁ γαμβρός σου τὰ δέκα ἄσπρα καὶ τὸ ἥμισυ τοῦ βοδίου καὶ τὸ ἀψούσιν καὶ τὰ βραχιάλια καὶ τὸ βλατήν.*

παρρησίᾳ τῶν ἐκεῖσε τυχόντων μαρτύρων· Ἰωάννου τοῦ Κοντοῦ·
9 л. *καὶ Θεοδώρου τοῦ Σαλα | φούντα.*

ἰνδικτιῶνος γ΄.

20. Второй полов. XIII века; л. 9 л.

+ Ὡς καθὼς καὶ ἐμετεστάθην Λαγούδης ὁ Χριστόδουλος καὶ ἡ νύμφη αὐτοῦ ἡ Καλάνα, ἐπῆρεν ὁ ἀδελφός του ὁ Κοντα(...) κτήνου ἡμίσειαν ἀπὸ τὸν Καμάχην, καὶ ἐμνημόνευσε τὸν ἀδελφόν του καὶ τὴν γυναῖκαν αὐτοῦ, καὶ ἔδωκεν αὐτὸν τοῦ Χλωροῦ τὸ χωράφιν εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. ἐξουσίαν ἔχεις αὐτὸ ὡς ἴδιον γονικόν σου. οἷος δὲ φανεῖ εἰς ἀναζήτησιν τοῦ τοιούτου τόπου, ἂς ἔχει τὸ ἀνάθεμα καὶ νὰ δώσῃ καὶ πρόστιμαν ἄσπρα ν'.

παρρησίᾳ Γεωργίου τοῦ Βάτζη· καὶ Ἰωάννου τοῦ Μαχθάμη· καὶ ἑτέρων πολλῶν. +

21. Около 6768/1260 г.; л. 9 л. — об.

Σίγνον	Ἰωάννου
τοῦ Κα	μάχη·

+ Ἐγὼ Ἰωάννης ὁ Καμάχης ἐπώλησα ἐσὲν παπᾶ Θεόδωρον τὸν Σαπούαν τὴν τοποθεσίαν τῆς Σατανένιξας σὺν τὸ κομάτιν, τὸ ἀποσυνοριάζει τὸ Σανογιανίτικον, καὶ ἀπέλαβα ἀπὸ σοῦ τὸ τίμημα ἄσπρα(..) σὺν τὰ κτή|ματα· καὶ ἵνα ἔχῃς αὐτὰ εἰς τοὺς ἑξῆς καὶ 9 об.
διηνεκεῖς χρόνους. ἐξουσίαν ἔχεις αὐτὸ ὡς ἴδιον γονικόν σου ἀλλάττειν ἀνταλλάττειν καὶ εἰς προῖκα ἐκδόσαι. οὐκ ἔχω ἐξουσίαν οὔτε ἐγὼ οὔτε ἐκ τοῦ μέρους μου τις ἐνοχλεῖν ἢ κατεγυρεύειν σε ἕνεκεν τοῦ τοιούτου τόπου. οἷος δὲ φανῇ εἰς ἀναζήτησιν, ὀφείλει ζημιωθῆναι τὸ τῆς τιμῆς διπλάσιον· καὶ πάλιν ἡ ὑμετέρα μονὴ ἐχέτω τὸ στέργον καὶ βέβαιον ἐν παντὶ νόμῳ καὶ δικαστηρίῳ.

παρρησίᾳ Κωνσταντίνου τοῦ Σάχα· Ἰωάννου τοῦ Θωμοπούλου· καὶ ἑτέρων πολλῶν. +

5 из первонач. σαγοανίτικον переправл. в Σαγιογιανίτικον, но название местности — Σανογιά. 6 для цыфры аспров оставлено место на 2 буквы.

22. Около 6768/1260 г.; л. 9 об.

+ Ταῦτα εἰσίν, τὰ ἔδωκα ἐγὼ Ἰωάννης ὁ Καμάχης· στασιακὰ ἄσπρα ξ'· καὶ πέντε ἀρμένικα νίμαν καναβένον· καὶ ψωμιάρ(ιν) βούτυρον.

23. Около 6768/1260 г.; л. 9 об. — 10 л.; см. табл. 3.

*+ Ὡς καθὼς καὶ ἐνεκάλεσεν Μαρία ἡ Καμαχινὴ τὸν Μανπλάνον
διὰ τὸ μηλόφυτον εἰς τὸν Μιχάλην τὸν Κούτζουρον· καὶ ἀπῆγεν ἡ
10 л. Καμάχινα | καὶ ἐνηγκαλήσατο τὸ μηλόφυτον καὶ ὤμοσεν, ὅτι μὰ
τὸν λόγον μου, τοῦτο μὲ τὸν ἐργάτην τὸν Πραιτώρην ἐγὼ το ἐφύ-
τευσα. καὶ ἐπαρεδόθη τὸ μῆλον αὐτήν, τοῦ μὴ ὀχληθῆναι παρά
τινος ποτὲ καιροῦ. καὶ οἷος ἐνοχλεῖ αὐτήν, ὀφείλει δῶσ(ειν) ἄσπρα ν'.
κατὰ μαρτυρίας Γεωργίου τοῦ Τζαρούα· Γεωργίου τοῦ Μακροῦ·
καὶ ἑτέρων πολλῶν.*

24. Около 6768/1260 г.; л. 10 л. — об.; снимок л. 10 об. у Усп., 1013; см. табл. 3.

Σίγνον	*τοῦ Κον-*	*Σίγνον*	*Βασιλείου*
τοϊ	*ωάννου·*	*τοῦ Ἀνδρο*	*νικοπούλου·*

*+ Ἡμεῖς οἱ ἄνωθεν σιγνογραφήσαντες τὰς ἰδίας ἡμῶν ἀσφα-
λείας ἐπωλήσαμεν Ἰωάννην τὸν Καμάχην τὸ χωράφιον τῆς Σατα-
νένιξας ἀπὸ τὸ Κουτρουπελέσ(ιν) καὶ κάτωθεν, καὶ ἀποσυνοριάζει
τὸ Σανογιανίτικον. καὶ ἀπελάβομεν ἀπὸ σοῦ τὸ τίμημα ἄσπρα ιβ',
τὸν δὲ τόπον ἐδώκαμέν σοι εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους.
ἐξουσίαν ἔχεις αὐτὸ ὡς ἴδιον γονικόν σου. καὶ οὐκ ἔχει ἄδειαν ποτὲ
10 об. τῶν καιρῶν ἐνοχλεῖν τὴν παροῦσαν ἡμῶν | φανερὰν πρᾶσιν τις. οἷος
δὲ φανεῖ εἰς ἀναζήτησιν, ὀφείλει ζημιωθῆναι ἄσπρα κδ'.
ἐν παρρησίᾳ Κωνσταντίνου τοῦ Ζωσιμᾶ· καὶ Βασιλείου τοῦ
Ξηροῦ· καὶ Θεοδώρου τοῦ Μουχουδενοῦ· καὶ ἑτέρων πολλῶν.
τὸν δὲ τόπον ἐδώκαμέν σοι ἄνευ δημοσίου καὶ καπαλίου. +*

25. Около 6768/1260 г.; л. 10 об. — 11 л.; снимок л. 10 об. у Усп., 1013.

*+ Οἱ δοῦλοι τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Μεγά-
λου Κομνηνοῦ, Θεόδωρος ὁ Πολεμάρχης καὶ Ἀνδρόνικος ὁ Πολε-
μάρχης οἰκείᾳ χειρὶ προετάξαμεν.
+ Ἡμεῖς οἱ αὐτάδελφοι ἐποιήσαμεν οἰκειοχείρως τὴν γραφήν
μας ταύτην πρὸς τὴν μονὴν τοῦ τιμίου Προδρόμου τοῦ Ζαβουλῶν,*

καὶ δεδώκαμεν ἐν τῇ αὐτῇ μονῇ ἐκ τοῦ γονικοῦ ἡμῶν τόπου κομάτιν, τὸ ὅπερ εἴχαμεν ἐξ ἀγορασίας τὸ ἐπιλεγόμενον Θελητέσιν, τὸ ἀντίμοιρον τοῦ Θωμοπούλου. καὶ ὡς τὸ εἴχαμεν εἰς τοὺς ἑξῆς, οὕτως ἐδώκαμεν καὶ ἡμεῖς αὐτὸ τὸ κομάτιν σύσπορον | πρὸς τὴν 11 л.
μονήν, ὅτι ὑπὲρ ψυχικῆς ἡμῶν σωτηρίας ἀνεθήκαμεν αὐτὸ εἰς τὸν Πρόδρομον. καὶ οὐκ ἔχει ἄδειαν κανείς ποτε τῶν καιρῶν ἐκ τοῦ μέρους ἡμῶν ἐνοχλῆσαι τὴν τοιαύτην μονὴν ἕνεκα τοῦ τοιούτου γονικοῦ. ὁ δὲ τοῦτο βουλόμενος ἐχέτω τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως.

μηνὶ μαΐῳ.

κατὰ μαρτυρίας Παγκάλου τοῦ Γουβαλᾶ· καὶ Κωνσταντίνου τοῦ Αλαμάντη. καὶ Ἰωάννου τοῦ Χαλαμάνου.

+ οἱ δοῦλοι τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Μεγάλου Κομνηνοῦ, Ἀνδρόνικος ὁ Πολεμάρχης καὶ Θεόδωρος ὁ Πολεμάρχης ὑπετάξαμεν καὶ ὑπεγράφημεν.

+ ὁ εὐτελὴς ἱερεὺς Θεόδωρος ὁ Θεοφάνης μαρτυρῶν ὑπέγραψ(α). +

26. Около 6768/1260 г.; л. 11 л. — об.

Σίγνον	Ἰωάννου
τοῦ Καρ	πέτου·

+ Ἐγὼ Ἰωάννης ὁ Καρπέτης οὐκ ἔκ τινος βίας ἢ ἀνάγκης, ἀλλὰ τῇ ἰδίᾳ μου θελήσει καὶ προαιρέσει ἔδωκα τεσσάρων ψωμιαρῶν τόπον τὸ | διακείμενον εἰς τὸ Θελητέσιν, τὸ εἰς τοῦ Πολεμάρχου 11 об.
τὸν τόπον πλησίον κείμενον, πρὸς τὴν μονὴν τοῦ τιμίου Προ- 6
δρόμου τοῦ ἐν τῷ Βαζελῷ ὑπὲρ ψυχικῆς μου σωτηρίας καὶ τῶν γονέων μου, ἵνα το ἔχῃ ἡ μονὴ καὶ νέμεται εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. +

27. Второй полов. XIII века; л. 11 об. — 12 л.

Σίγνον	Ἰωάννου
τοῦ Σαγ	μαρᾶ·

+ Ἐγὼ Ἰωάννης ὁ Σαγμαρᾶς, ὁ τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν οἰκειοχείρως ἐγχαράξας, οὐκ ἔκ τινος βίας ἢ ἀνάγκης ἢ ἄλλης τινὸς

ἐπιπλάστου προθέσεως, ἀλλὰ τῇ οἰκείᾳ θελήσει καὶ προαιρέσει τὸ
ἐμόν τε καὶ τῆς συμβίου μου, ἔδωκα τὸν τόπον τὸ διακείμενον
γύρωθεν τοῦ ναοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου, ὁμοίως καὶ
τὸ ἄνωθεν τοῦ Τζαμουχί⟨ου⟩ σὺν τὴν ἀγορασίαν, τὸ ἔχω ἀπὸ τὴν
12 л. Μέγκλεναν, ψυχικῆς ἕνεκα σωτηρίας ἐμοῦ τε καὶ τῆς συμ|βίου μου
καὶ τῶν τέκνων μου ἐν τῇ μονῇ τοῦ τιμίου Προδρόμου τοῦ ἐπιλε-
γομένου Ζαβουλῶν. καὶ οὐκ ἔχει ἄδειάν τις ἐκ τοῦ μέρους μου
ποτὲ τῶν καιρῶν παραθραῦσαι καὶ ἐνοχλῆσαι τὴν μονὴν ἕνεκα τοῦ
ἄνωθεν δηλωθέντος τόπου, ἀλλ᾽ ἵνα το ἔχῃ καὶ νέμεται ἡ μονὴ εἰς
τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. καὶ ὁ βουλόμενος ἐνοχλῆσαι αὐτὴν
ἐχέτω τὰς ἀρὰς τῶν τιη΄ θεοφόρων πατέρων. ἡ δὲ παροῦσα μου
γραφὴ ἐχέτω τὸ στέργον καὶ βέβαιον.

κατὰ μαρτυρίας ἱερέως Εὐγενίου τοῦ Χοντραλέστα· καὶ Ἰωάννου
τοῦ Μουκάπα· καὶ Θεοδώρου τοῦ Ἀλιάτ(ου).

28. Второй полов. XIII века; л. 12 л.—об.

✝ Ὁμοίως καὶ ἐγὼ Ἰωάννης ὁ Μουκάπας δέδωκα τὸν τόπον
τοῦ Τζαμουχίου, τὸ ἀντίμοιρον τοῦ Σαγμαρᾶ, πρὸς τὴν μονὴν τοῦ
τιμίου Προδρόμου. καὶ οὐκ ἔχει ἄδειαν κανεὶς ἐκ τοῦ μέρους μου
12 об. ἀνατρέψαι τὴν τοιαύτην παράδοσιν, ὅπερ ἄ|νωθεν ἐδήλωσα. ὁ δὲ
βουλόμενος ἐκσπάσαι αὐτὸ ἐκ τῆς μονῆς ἐχέτω τὸν τίμιον Πρόδρο-
μον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως.

παρρησίᾳ Θωμᾶ στρατιώτου τοῦ Σάχα· καὶ Κωνσταντίνου τοῦ
Μουγαλτᾶ· καὶ Σάβα τοῦ Καρπέτη· καὶ ἑτέρων πολλῶν. ✝

29. Около 6772/1264 г., инд. 7; л. 12 об.

Σίγνον	Θεοδώρας
τῆς Γοδω	νίτησας·

✝ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.
ἐγὼ Θεοδώρα ἡ Γοδωνίτησα ἔδωκα εἰς τὸν τίμιον Πρόδρομον
τοῦ Ζαβουλῶν τόπον εἰς τοῦ Σκίρτα τῶν ὀκτὼ τραχχ., τὸ ὅπερ
εἶχαν οἱ γονεῖς μου ἀγορὰν ἐκ τοῦ μέρους τοῦ Κάναρι, ἐσωχώραφον
καθὼς καὶ ἠγόρασαν, πρὸς μνημόσυνον τὸ ἐμὸν καὶ τῶν γονέων

μου. καὶ ὁ βουλόμενος ἐκσπάσαι αὐτὸ ἐκ τῆς μονῆς ἵνα τὸν τίμιον Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως ἐχέτω.

ἰνδικτιῶνος ζ΄.

10 после 29 следует начало 107.

30. 6803/1295 г., инд. 2, март; л. 13 л. — об. (н. и.).

| Σίγνον | Κωνσταντίνου 13 л.

τοῦ Πο | λεμάρχη·

+ Εἰς τὸ ὄνομα τοῦ θεοῦ καὶ πάντων τῶν ἁγίων.

ἐγὼ Κώνστας ὁ Πολεμάρχης ἔδωκα τὸ χωράφιν, τὸ ἔχω εἰς τὴν Χορτοκόπην ἀπὸ τὸν παπᾶ Ξαντίνον διὰ πρατηρίου εἰς τὸ Καλαντάπην, τὸν αὐθέντη μου τὸν τίμιον Πρόδρομον εἰς μνημόσυνον εἰδικόν μου καὶ τῶν γονέων μου καὶ τῆς συμβίου μου.

παρρησίᾳ Γρηγορίου τοῦ Ψωμᾶ· καὶ Θεοδώρου τοῦ Παξιμάτη· καὶ Κωνσταντίνου τοῦ Ζούζηλα.

| Ὁμοίως ἔδωκα καὶ τὸ λιβάδην τῆς Χαϊᾶς τῆς Νινιβετήσης 13 об.
ἐκείνης τῆς κυρᾶ⟨ς⟩ Ἑλένης τὸ ὅλον. ὡσαύτως καὶ γῆν ὕπεργον ἐν 11
τῷ ποταμῷ μοδίων τοπικῶν δύο, ὑπὲρ μνημόσυνον τῶν γονέων μου καὶ τῆς ἐμῆς ψυχῆς. διὸ καὶ ἐγεγόνει ἡ παροῦσα μου ψυχικὴ δωρεὰ καὶ ἐπαρεδόθη τοῖς μοναχοῖς.

μηνὶ μαρτίῳ ἰνδικτιῶνος β΄ ἔτους ͵ςωγ΄.

ὁ δοῦλος τοῦ κραταιοῦ ἡμῶν βασιλέως Μιχαὴλ ὁ Μουλτάτος.

15 β΄] инд. 2 не соответствует 6803 году, в котором инд. 8.
1—16 написаны на л. 13, который вставлен реставратором.

31. Около 6809/1301 г., инд. 14; л. 14 л. — об. (н. и.).

| Σίγνον | Βασιλείου 14 л.

τοῦ Χα | ζάρου·

+ Ἐγὼ Βασίλειος ὁ Χάζαρος ἰδίᾳ βουλῇ καὶ προαιρέσει, τὸ ἐμόν τε καὶ τῆς συμβίου μου καὶ τῶν τέκνων μου, ἔδωκα ἐν τῇ στάσει Δανείαχας τὸ χωράφιν τὸ μέσαῖον ἐν τῇ μονῇ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου τοῦ καλουμένου Ζαβουλῶν, ὑπὲρ ψυχικῆς σωτηρίας ἐμοῦ τε καὶ τῶν τέκνων μου καὶ τῆς συμβίου μου, ἵνα το ἔχη ἡ

14 об. μονὴ, εἰς τοὺς ἑξῆς | καὶ διηνεκεῖς χρόνους. φθάνει δὲ τὸ τοιοῦτον χωράφιον ψωμιάρια ε'. καὶ οὐκ ἔχει ἄδειάν τις ἐκ τοῦ μέρους μου ἀνατρέψαι τὴν ψυχικήν μου δωρεάν. ὁ δὲ τοῦτο βουλόμενος εὕροι τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως.

ἰνδικτιῶνος ιδ'.

1—12 написаны на л. 14, который вставлен реставратором.

32. Около 6772/1264 г.; л. 14 об. — 15 л.

Σίγ	νον Ἰωάννου
τοῦ Μου	λίτα

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίας καὶ ἀληθῶς ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου.

15 л. ἐγὼ | Ἰωάννης ὁ Μουλίτας πέπρακα πρὸς σὲ Ἀλέξιον τὸν Κουρτιστὴν τόπον ψωμιαρῶν β' ἐκ τῆς στάσεως τοῦ Μουφλᾶ εἰς τοῦ Κουϊᾶ, ὀνόματι τοῦ Φωσίου τὸ χωράφιν, ἐκ τοῦ κεφαλικοῦ μου, οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ χλεύης ἢ ῥαδιουργίας ἢ ἄλλης τινὸς ἐπόψεως, ἀλλὰ τῇ ἰδίᾳ θελήσει καὶ προαιρέσει μου. καὶ ἔλαβον ἀπὸ σοῦ τὸ τίμημαν τοῦ τοιούτου τόπου ἄσπρα ς'. τὸν δὲ τόπον ἐδώκα σε εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. ἐξουσίαν ἔχεις ὡς τὸ ἴδιον γονικόν σου πράττειν, χαρίζειν, ἀλλάττειν, ἀνταλλάττειν, καὶ οὐκ ἔχω ἐξουσίαν ποτὲ τῶν καιρῶν οὔτε ἐγώ, οὔτε ἀδελφός, οὔτε συναδελφός, οὔτε ἐκ τῶν παίδων καὶ κληρονόμων μου τις φανεῖν εἰς ἀναζήτησιν ἕνεκεν τοῦ τοιούτου τόπου. οἷος δὲ φανῇ εἰς ἀναζήτησιν, πρόστιμον ὑπόκειται δώσ(ειν) ἄσπρα κ'.

παρρησίᾳ τῶν παρευρεθέντων μαρτύρων. +

1—5 написаны на л. 14, который вставлен реставратором.

33. Около 6772/1264 г.; л. 15 об.; см. табл. 4.

15 об.

|(Σίγ	νον Ἰωάννου)
τοῦ Μου	λίτα·

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθοῦς θεοτόκου.

ἐγὼ Ἰωάννης ὁ Μουλίτας πέπρακα πρὸς σὲ κυρ(ὸν) Ἰωαννίκην τὸν Σπανόπουλον τόπον ψωμιαρῶν μεγάλων δύο εἰς τοῦ Κουϊᾶ, τὸ ὅπερ ἠγόρασα ἀπὸ τοὺς συναδελφούς μου τοὺς Μουφλάντας, τὸ ἀντίμοιρον Ἀλεξίου τοῦ Κουρτιστῆ, τοῦ Φωσίου τὸ χωράφιν. ἀπέλαβα ἀπὸ σοῦ τὸ τίμημαν καθὼς εἶχα το ἀγοράν, ἵνα το ἔχῃς εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. οἷος δὲ ἐνοχλείην σε περὶ τοῦ τόπου τούτου, ἵνα ἔχῃ τὸν Πρόδρομον ἀντίμαχον.

κατὰ μαρτυρίας Βασιλείου τοῦ Σαπούα· ⟨καὶ⟩ Θηριανοῦ τοῦ Μαλαχίτ(α).

γραφεὺς Λέων ἀναγνώστης ὁ Σφενταβόλ(ας).

34. Около 6772/1264 г.; л. 15 об. — 16 л.; см. табл. 4.

Σίγνον	Νικοδήμου μοναχοῦ
τοῦ Χουρ	τζιριώτου·

✢ Ἐγὼ Νύμφων μοναχὸς ὁ Χουρτζιριώτης ἔδωκα ὑπὲρ ψυχικῆς μου σωτηρίας τὸ ἐμὸν καὶ τῆς μητρός μου ἐν τῇ στάσει | τῇ Αἰθέ- 16 л.
ρισᾳ εἰς τὸ Βαλεντζιακέσιν γῆν μοδίων β' μητρικήν μου εἰς τὸν τίμιον Πρόδρομον τὸν ἐν τῷ ὄρει Ζαβουλῶν.

4—6 написаны на л. 16, который вставлен реставратором; на нем заняты только 3 строки вверху, остальная часть л. и об. пустые.

35. 6818/1310 г., инд. 8, мая 26; л. 17 л. — об.; см. табл. 3.

Σίγνον Κου	ρουπαλάτου
τοῦ Μαρκι	ανοῦ·

Σίγνον	Νικήτα
τοῦ Μαρ	κιανοῦ·

✢ Ἡμεῖς οἱ δύο γνήσιοι ἀδελφοί, οἱ ἄνωθεν τοῦ παρόντος ὕφους οἰκειοχείρως τοὺς σταυροὺς ἡμῶν ἐγχαράξαντες, παραδίδομεν τὸν τόπον, τὸ ὅπερ ἔχομεν εἰς τοῦ Χουλίωνος, τὸ ἐναύλιν τὸ ὅπερ κεῖται πλησίον τῆς Ἁγίας Βαρβάρας, εἰς τὴν μονὴν τοῦ τιμίου Προδρόμου τοῦ Ζαβουλῶν εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. οἷος δὲ ὄχλησιν ποιεῖ δι' αὐτὸ⟨ν⟩ τὸν τόπον, ὀφείλει ἔχειν αὐτὸν ἀντίμαχον καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. ✢

παρρησίᾳ τῶν τυχόντων μαρτύρων, Ἰωάννου τοῦ Μαρκιανοῦ· καὶ στρατιώτου τοῦ Κιβουσενοπούλου· Ἰωάννου τοῦ Σεπύρου.
17 об. *|μηνὶ μαΐῳ κς' ἰνδικτιῶνος η' ἔτους ͵ςωιη'.* ✠

1 впереди 35 в начале л. 17 л. стоит окончание документа, совпадающее с окончанием **102**. 10 *καὶ*] здесь скрывается имя свидетеля: переписчик имел перед глазами сокращенное (или дурно сохранившееся?) написание имени, похожее на сокращенное написание этого союза; не стояло ли *Κωνσταντίνου*? 11 должно быть *Ζεπύρου*.

36. Около 6778/1270 г.; л. 17 об.

✠ *Κατὰ παρρησίας Ἰωαννάκη ἱερέως τοῦ Σαπούα· καὶ Βασιλείου ἱερέως τοῦ Σαπούα· καὶ Γεωργίου ἱερέως τοῦ Χοντροῦ· καὶ Ἰωάννου τοῦ Ζούζιλα· Κωνσταντίνου τοῦ Καστελίτ(ου)· καὶ Θεοδώρου τοῦ Ἀρακέλη.*

καὶ πράκτωρες βασιλικοὶ ὁ Τετέντελης· καὶ Μιχαὴλ ὁ Κασσιμπούρης·

ἦλθεν Μιχαὴλ ὁ Ζουκαρενὸς καὶ εἶπεν, ὅτι καθὼς καὶ ὁ πατήρ μου ἔθηκεν τὸ γονικόν μας τὸ ἐν τῇ στάσει τοῦ Τζερεκέρη πρὸς τὴν μονὴν τοῦ Προδρόμου τοῦ Ζαβουλῶν, οὕτως καὶ ἐγὼ μὲ τὴν θέλησίν μου ἀφῆκα το ἐκεῖ πρὸς μνημόσυνόν μας. ✠

4 *Τετέντελης] Τεμέντελης* в **116** кажется правильным. 7 *τὸ ἐν]τῷ ἐν* ркп

37. Около 6768/1260 г.; л. 17 об. — 18 л.

Σίγνον	*τοῦ Σού*
του.	

Σί	*γνον*
τοῦ Κα	*φούλη*

Σίγνον	*Λέοντος*
τοῦ Φ(ρυ)	*γάνου*

✠ *Ἡμεῖς οἱ ἄνωθεν σιγνογραφήσαντες ἐπωλήσαμεν ἐσὲν κα-*
18 л. *λογρέαν τὴν Γιαγούπεναν τοῦ Ἁγίου Θεοδώρου τὸ|χωράφιν τόπικὸν σιτάρ(ιν) ψωμιαρῶν η', καὶ ἀπελάβομεν ἀπὸ σοῦ τὸ τίμημα ἀγελάδα διετῆ καὶ ἄσπρα κη' καὶ χοινικ(ὸν) κριθάριν. τὸν δὲ τόπον ἐδώκαμέν σοι εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. ἐξουσίαν ἔχεις*

αὐτὸ ὡς ἴδιον γονικόν σου. καὶ οὐκ ἔχομεν ἄδειαν οὔτε ἡμεῖς οὔτε ἐκ τῶν παίδων καὶ κληρονόμων ἡμῶν ‹τις› καταγυρεῦσαι τον τοιοῦτον τόπον. οἷος δὲ ὀχλήσοι, ὀφείλει δώσ(ειν) ἄσπρα ρ'.

κατὰ μαρτυρίας τοῦ εὐλαβεστάτου ἱερέως ‹имя› τοῦ Φλητόνη· Κωνσταντίνου τοῦ Βαλεντζιάκ(ου)· ‹имя› τοῦ Καλοκύρη· καὶ ἑτέρων πολλῶν. +

11 καταγηρεῦσαι ркп. (и везде в этом слове ркп. γη вместо γυ).

38. 6770/1261 г., ‹инд. 5›, октября 21; л. 18 л. — 19 л.; русск. перев. части текста у Усп., 1016.

Σίγνον	Μαρίας
τῆς Τζαρ	χαλίνας

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ Μαρία ἡ Τζαρχαλίνα, ἡ ἄνωθεν [τοῦ παρόντος ὕφους] οἰκειοχείρως τὸν [τίμιον καὶ ζωοποιὸν] σταυρὸν ἐγχαράξασ‹α›, ἔδωκα τὸ γονικόν μου [τὸ] ἐν τῇ στάσει τοῦ Ἀγριδίου ἐν τῇ [σεβασμίᾳ] μονῇ τοῦ τιμίου Προδρόμου τοῦ Ζαβουλῶν ἕνεκα ψυχικῆς σωτηρίας [καὶ ἀφέσεως τῶν ἁμαρτιῶν] ἐμοῦ τε καὶ τοῦ συμ|βίου 18 об.
μου καὶ τῶν γονέων μου. εἶναι δὲ καὶ οἱ πέντε μου παῖδες αἰχμάλωτοι. ἐὰν ἔλθουν, ἂς ἔχουν τὴν μοῖραν αὐτῶν. εἰ δ' οὐχί, ἂς εἶναι εἰς τὴν μονὴν ἀπὸ ὅρου καὶ ποταμοῦ, κήπου καὶ δένδρων, γῆς χερσαίας τε καὶ λιβαδίων.

εἰσὶν τὰ ὀνόματα τῶν χωραφίων ταῦτα.

χωράφιον κάτωθεν τοῦ Ἁγίου Ἰωάννου σὺν τὴν ἀγορα(σίαν) τῆς Ἀλευράβας τῆς Ξανθάνας εἰς ἄσπρα ζ'.

καὶ ἕτερον χωράφιον τοῦ Ἁγίου Ἰωάννου, ἔχω το ἀντιλαγ(ὴ) ἀπὸ τὸν παπᾶ Παῦλον.

καὶ χωράφιον τῆς Θεοτόκου.

καὶ χωράφιον τὸ Κεντρόλιθον.

καὶ χωράφιον εἰς | τὸ Ῥαχὴν εἰς τὸ ἁλώνιν καὶ κάτωθεν. 19 л.

καὶ χωράφιον εἰς τὸ Πηγάδιν.

καὶ χωράφιον εἰς τὰ Μουσκεναρίσκια μετὰ τοῦ Τζαρούα ἀ(. . . .).



καὶ χωράφιον εἰς τοῦ Λυκούδη κάτωθεν εἰς τὸ Παραρύμην.
καὶ ἕτερον χωράφιον εἰς τοῦ Λυκούδη κάτωθεν.
καὶ ἕτερον χωράφιν τὸ Πλαγιάδ(ιν).
κατὰ παρρησίας Φωκᾶ τοῦ Τζαροπούλου· καὶ Ἰωάννου τοῦ Χαντζόη· καὶ Κώνστα τοῦ Ἐξωτικοπούλου· καὶ ἑτέρων πολλῶν.
μηνὶ ὀκτωμβρίῳ εἰς τ(ὰ) κα' ἔτους ,ςψο'.
καὶ ὁ βουλόμενος ἀνατρέψαι αὐτὴν εὕροι τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως. +
+ ὁ δὲ γραφεὺς τοῦ ὕφους ⟨имя⟩ ἀναγνώστης ὁ Νέος.

1—8 текст со слов *Σίγνον Μαρίας* до *καὶ τοῦ συμ* повторяется на л. 18 об. со вставками, которые заключены в прямые скобки, и с некоторыми особенностями, которые далее и отмечаются. 6 *οἰκειοχείρως* перенесено на л. 18 об. после *σταυρόν*. 6 [τὸ] ἐν] τῷ ἐν ркп. на л. 18 об. 8 τοῦ] τῆς на л. 18 л.

39. 6772/1264 г., инд. 6 (должен быть 7), май; л. 19 л. — 21 об.; изд. вторая половина у П.-К., 84—85 № 19, и Пан.; русск. перев. у Усп., 1014—1015.

Σίγνον | Βασιλείου
τοῦ Βου | κενάτωρος·

Σίγνον | Μαρίας τῆς γνησίας
αὐτοῦ | θυγατρός·

Σίγνον Ἰωάννου | τοῦ Κορώνη
τοῦ αὐτοῦ γυ | ναικαδέλφου·

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἡμεῖς οἱ ἄνωθεν σιγνογραφήσαντες καὶ κατ' ὀνόματος ῥητῶς|
19 об. δηλούμενοι, οἱ τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκειοχείρως ἄνωθεν ἐγχαράξαντες, ⟨ἐκτιθέμεθα⟩ τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἀπεντεῦθεν μετὰ καθολικοῦ δεφενσίωνος καὶ πάσης νομίμου ἀσφαλείας φανερὰν πρᾶσιν τοῦ μέλλοντος χωραφοτοπίου ἡμῶν ἐν τῷ βάνδῳ Ματζουκάων ἐν τῷ χωρίῳ Χορτοκόπης καὶ ἐν τῇ στάσει τῇ Παλλαδιάνῃ. ἐπεὶ ἡ πενθερά μου ἐκείνη Μαρία ἡ σύνευνος Βασιλείου τοῦ Κορώνη μετὰ τοὺς παῖδας αὐτῆς ἀποδημήση ἐκ τοῦ γονικοῦ αὐτῆς διὰ τὴν προσοῦσαν αὐτῆς πτωχείαν, νῦν δὲ σήμερον

ἐλθὼν ἐγὼ Βασίλειος ὁ Βουκενάτωρ ὁ ἐπὶ θυγατρὶ γαμβρὸς αὐτῆς μετὰ τοῦ γνησίου γυναικαδέλφου μου Ἰωάννου τοῦ Κορώνη ἐπιτοπίως, καὶ εὑρὼν ἐκ τῶν χωραφοτοπίων μου τὸ χωραφοτόπιον τὸ ἐπιλεγόμενον τῆς Θεοτόκου, τὸ διακείμενον κάτωθεν τοῦ δρόμου, ὅτι ἔδωκεν αὐτὸ ὁ παπποῦς μου ἐκεῖνος Κωνσταντῖνος ὁ Χτίπων ἀνόχυρον εἰς τὴν ἁγίαν μονὴν τοῦ τιμίου Προδρόμου τοῦ Ζα|βουλῶν 20 л. εἰς ὑπέρπυρα β'. ἐπεὶ καὶ τὸ τοιοῦτον χωραφοτόπιον ἔτυχεν εἰς τὴν μοιρασίαν πρὸς τὸ μέρος ἡμῶν. καὶ μὴ δυνάμενος ὁ παπποῦς μου ἐκεῖνος Κωνσταντῖνος ὁ Χτίπων ἀπευγάλ(αι) τὰ δύο ὑπέρπυρα εἰς τὴν ἁγίαν μονὴν καὶ ἐλευθερῶσαι τὸ χωραφοτόπιον, διὰ τὴν ψυχὴν τῶν γεννησάντων ἡμᾶς ἐδώκαμεν τὰ τοιαῦτα δύο ὑπέρπυρα καὶ ἐλευθερώσαμεν τὸ χωραφοτόπιον ἀπὸ τὴν ἁγίαν μονήν. καὶ πάλιν πρὸς μνημόσυνον τῶν γεννησάντων ἡμᾶς ἠθελήσαμεν ἐξωνήσασθαι τὸ τοιοῦτον χωραφοτόπιον πρὸς τὴν μονήν. ἐπεὶ καὶ τὸ τῆς προτιμήσεως εὔλογον εἶχεν, τιθέμεθα καὶ ποιῶμεν ἀπὸ γνώμης οἰκείας καὶ προαιρέσεως ἀφόβως καὶ ἀβιάστως, ἔτι δὲ καὶ ἀμεταμελήτως καὶ οὐκ ἔκ τινος ἀνάγκης, ἢ βίας, ἢ ἀρχοντικῆς ἐπικουρίας, ἢ πρακτωρικῆς ἐξουσίας, ἢ ἄλλης τῆς οἱασοῦν αἰτίας, ὡς ἐν συνόψει φάναι, καὶ τοῖς νόμοις ἀποτετραμμένοις καὶ ἀποδεδοκιμασ|μένοις 20 об. σὺν προμηθείᾳ ἡμῶν μᾶλλον πάσῃ καὶ πολλῇ τῇ ἀποδοχῇ καὶ ἁπλότητι χρονοῦντι τῇ διασκέψει καὶ μεμεριμνημένῳ σκοπῷ πρὸς τὴν μονὴν τῆς Ζαβουλῶν, καθὼς τὸ ὕφος δηλοῖ. καὶ γὰρ βουλόμεθα ἀπεμπολῆσαι τὸ τοιοῦτον χωραφοτόπιον τὸ ὅπερ εἴχαμεν ἐκ τῶν γνησίων ἡμῶν γονέων κατὰ τὴν αὐτῶν δεσποτείαν περιῆλθεν ἐμοὶ καὶ τὴν νομὴν μέχρι καὶ σήμερον ποιοῦμεν καλῶς. καὶ εἰς λόγους ἐλθόν(τες) τὰ ἀμφότερα μέρη περὶ τῆς τούτου διατιμήσεως, προσκαλεσάμενος ἄνδρας (ἀ..ον)τίστους τοὺς πεῖραν ἔχοντας ⟨εἰς⟩ τὰς τῶν τοπίων διατιμήσεις, (οἳ) περιέστησαν τὴν τούτου δικαίαν τιμὴν ἄσπρα κυρμανουηλάτα κς' καὶ οὐ πλέον. καὶ ὡς ἐκατελαβόμεθα ταῦτα ἀπὸ τὴν ἁγίαν μονὴν ἀριθμητικῶς εἰς τὰς ἡμετέρας χεῖρας ἐνώπιον τῶν ὑπογραψάντων μαρτύρων, ἡμεῖς ἐκτιθέμεθα πρὸς τὴν μονὴν τὴν παροῦσαν μετὰ καθολικοῦ δεφενσίωνος καὶ πάσης νο|μίμου ἀσφα- 21 л. λείας φανερὰν πρᾶσιν, δι' ἧς ὀφείλει δεσπόσαι ἡ ἁγία μονὴ καὶ κατέχειν ἀπὸ τῆς παρούσης ὥρας καὶ ἡμέρας εἰς τοὺς ἑξῆς ἅπαντα⟨ς⟩ καὶ διηνεκεῖς χρόνους, μέχρις ἂν ὁ παρὼν ἥλιος τόνδε τὸν κόσμον ἐφορᾷ, ἵνα το ἔχῃ ἡ ἁγία μονὴ μετὰ τοῦ καθηγουμένου καὶ τῶν μονα-

*

χῶν τοῦ πραθέντος χωραφοτοπίου οἷον καὶ ὅσον ἐστίν. καὶ ὀφείλει κατέχειν ἡ ἁγία μονή, καθὼς εἴρηται τρόπῳ, τοῦ δηλωθέντος χωραφοτοπίου ἡμῶν ὡς κύριος [καὶ] αὐτοδεσπότης. ἐπ' ἀδείας ἔχει ὁ κατὰ τὴν ἡμέραν καθηγούμενος μετὰ τῶν μοναχῶν πωλεῖν χαρίζειν καὶ ποεῖν ἐπὶ τὸ τοιοῦτον χωραφοτόπιον ὅσα ἔχο‹υ›ν τὰ θελήματα τὰ ὑπὲρ αὐτοῦ διοικεῖν καὶ οἰκοδομεῖν, καθὼς οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι διακελεύονται. καὶ ὅστις ἀνήλογος τῆς τοιαύτης πράσεως, ἤτε ἡμεῖς ἢ τῶν παίδων καὶ διαδόχων ἡμῶν τις φανῇ, ὡς ἄπρακτοι
21 об. καὶ καταδεδικασμένοι ἐκδιωκόμεθα ἀπὸ παντὸς νόμου καὶ δι|καστηρίου. ἀλλὰ καὶ τὴν ἀφόρητον ὀργὴν τοῦ θεοῦ ἐπισπάσηται καὶ τὴν ἀρὰν τῶν τιη' θεοφόρων πατέρων, καὶ ἡ μερὶς αὐτοῦ ἔστω μετὰ τοῦ προδότου Ἰούδα· δώσει δὲ καὶ λόγου προστίματος πρὸς τῷ εὐσεβεῖ βασιλικῷ βεστιαρίῳ τὰ δηλωθέντα νομίσματα τὸ τούτου τίμημαν ἐπὶ τὸ διπλάσιον. τὸ δὲ παρὸν πρατήριον μενέτω εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. ἥτις καὶ ὑπανεγνώσθη καὶ ἑρμηνεύθη παρὰ τῶν τυχόντων ἀνδρῶν καὶ παρὰ τοῦδε τοῦ γραφέως Νικήτα τοῦ Πα[μ]φλάγου ἐνώπιον καὶ τῶν ὑπογραψάντων μαρτύρων. +

μηνὶ μαΐῳ ἰνδικτιῶνος ς' ἔτους ,ςψοβ'.

+ ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Μεγάλου Κομνηνοῦ Κωνσταντῖνος ὁ Κυριμέρης.

+ Γρηγόριος ἱερεὺς ὁ Μαρινάς μαρτυρῶν ὑπέγραψα. + Βασίλειος ἱερεὺς ὁ Σαπούας. + Μιχαὴλ ἱερεὺς ὁ Διπλοήτης. + Θεόδωρος ὁ Καλιγάρης. + Ἀνδρόνικος ὁ Ματζουκαήτης. + Ἰωάννης ὁ Μουλίτ(ας).

13 ἀποδημήση] следовало бы ожидать ἀπεδήμησε (или ἀποδημήσασα? ἀποδημήσει?). 33 ἀποτετραυμένοις καὶ ἀποδεδωκιμασμένοις ркп., а должно быть ἀποτετραμμένης καὶ ἀποδεδοκιμασμένης. 35 χρονοῦντι] должно быть χρονούσῃ. 36 τῆς] должно быть τοῦ. 41 (ἀ..ον)τίστους у П.-К. прочтено κρατίστους. 44 со слов εἰς τὰς ἡμετέρας χεῖρας... текст изд. у П.-К. 45 ἡμεῖς] δὲ вставл. П.-К. 48 ἅπαντα проп. П.-К. 49 παρὼν проп. П.-К. 49 τόνδε τὸν κόσμον] τόδε τὸ πᾶν П.-К. 51 οἷον καὶ ὅσον] οἷος καὶ ὅσος П.-К. 54 μετὰ τῶν μοναχῶν проп. П.-К. 55 ἔχο‹υ›ν τὰ] ἔχοντα ркп. и П.-К. с прибавкой (sic). 56 τὰ ὑπὲρ αὐτοῦ] ὑπὲρ αὐτῶν П.-К. 58 ἢ] εἴτε П.-К. с прибавкой от себя τις. 58 τις проп. здесь П.-К. 59 ἐκδιωκόμεθα] καταδιωκόμεθα П.-К. 60 τοῦ θεοῦ проп. П.-К. 62 πρωστήματος ркп. 63—64 τὸ τούτου τίμημαν проп. П.-К. 65 ἥτις καὶ] ὅστις П.-К. ἥτις] εἶτις ркп. 68 μαΐῳ] μαρτίῳ П.-К. 68 ς'] индикт должен быть к 6772 г. не ς', а ζ'. 69 κραταιοῦ καὶ проп. П.-К. 69 αὐθέντου] αὐθεντὸς П.-К. 71 Μαρινάς]

Μαρίνας П.-К. 71 *μαρτυρῶν ὑπέγραψα] μαρτύρων ὑπογραψάντων* П.-К. 73—74 *Μουλίτας] Μουλίτης* П.-К., который затем присоединяет еще подпись: *Ὁ δοῦλος τοῦ ἁγίου ἡμῶν αὐθεντὸς καὶ βασιλέως Νικήτας ὁ Παμφλάγων γραφεὺς καὶ μάρτυρας.* См. **40**, 3—4.

40. Около 6772/1264 г.; л. 21 об., 22 л.

Σίγνον	*Νικήτα*
τοῦ Τζου	*καλᾶ.*

Далее между л. 21 и л. 22 вырезан 1 лист, на котором находился весь текст акта Николая Цукалы, но, может быть и даже вероятно, что не один он; сохранилась только подпись на л. 22 л., которая, может быть, однако, ни к одному из указанных актов не относится:

+ *Ὁ δοῦλος τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Μεγάλου Κομνηνοῦ γραφεὺς καὶ μάρτυρας Νικήτας ὁ Παφλάγων.* ÷

41. 6810/1302 г., <инд. 15>; л. 22 л. — об.

Σίγνον	*Θεοδώρου*
τοῦ Κα	*φούλη.*

+ *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ Θεόδωρος ὁ Καφούλης ἔδωκα εἰς τὸν τίμιον Πρόδρομον τοῦ Ζαβουλῶν τὸ Κυρμανέσιν τὸ χωράφιν ποσὸν χοινικὸς μεγάλου, καὶ ἐπῆρα ἀπὸ τὴν ἁγίαν μονὴν ἄσπρα ρ'. καὶ ἔδωκα εἰς τὴν ἀγορὰν τοῦ παιδίου μου. τὸν δὲ τόπον ἐπαρέδωκα εἰς τοὺς ἑξῆς καὶ ἅπαντα<ς> καὶ διηνεκεῖς χρόνους, ἕως ὁ σύμπας κόσμος ἵσταται. καὶ οὐκ ἔχω ἄδειαν οὔτε ἐγὼ οὔτε ἐκ τῶν παίδων καὶ κληρονόμων μου ἢ ἐκ τοῦ μέρους ἡμῶν κανείς. καὶ οἷος ὀχλεῖ ποτὲ καιροῦ τὴν μονήν, νὰ ἔχῃ τὸν Πρόδρομον ἀντίμαχον καὶ νὰ δώσῃ καὶ πρόστιμαν ἄσπρα φ'.*

παρρησίᾳ τῶν τυχόντων μαρτύρων· Νικηφόρου τοῦ Λουτρενοῦ· 22 об. Ἄνθη ἱερέως τοῦ Λυμποῦ· Κωνσταντίνου | τοῦ Τορνάρη· Βασιλείου τοῦ Τζιμιρούκη.

+ ὁ δὲ γραφεὺς τοῦ ὕφους Γεώργιός ὁ Γιαλέας.

+ ἔτους ͵ςωι'.

42. Около 6808/1300 г.; л. 22 об.

+ Ἐγὼ Κοσμᾶς ὁ Καρφὰς κήτωμαι ἐν ἀσθενείᾳ καὶ ἀφίημι εἰς τὸν τίμιον Πρόδρομον τοῦ Ζαβουλῶν τὴν ἕδραν σὺν τὸν κῆπον ἀναμέσον τοῦ Ἁγίου Θεοδώρου καὶ τῆς Ἁγίας Βαρβάρας καὶ (τόπον) εἰς τὸν δρόμον κάτωθεν τὸ λεγόμενον Βιγλατώριν μοδίου ἑνὸς μεγάλου. δίδωμι αὐτὸ περὶ τῆς ἐμοῦ καταθέσεως εἰς τοὺς ἐξῆς καὶ ἅπαντα⟨ς⟩. καὶ οἷος ἐκ τοῦ μέρους μου ὀχλοίη τὴν ἁγίαν μονὴν περὶ τοῦ τοιούτου τόπου, νὰ ἔχῃ τὴν κατάραν μου καὶ τὸν Πρόδρομον ἀντίμαχον, καὶ νὰ δώσει καὶ πρόστιμαν ἄσπρα ρ'. καὶ πάλιν ἡ παροῦσα μου διαθήκη ἔστω στέργον καὶ βέβαιον.

+ κατὰ παρρησίας Ἰωαννικίου ἱερομονάχου τοῦ Παπαδοπούλου· καὶ Εὐθυμίου ἱερομονάχου τοῦ Φουτζανᾶ· καὶ Γεωργίου τοῦ Καν(ζίκη)· ⟨καὶ⟩ Θεοδώρου τοῦ Χαλαμάνη· καὶ Κώνστα τοῦ Ζεπύρου. +

1 *κήτωμαι]* должно быть *κείτομαι*. 4 *(τόπον)]* может быть и *γῆν*, как читал П.-К. в списке С. 8. *πρώστιμαν* ркп. 12 *Καν(ζίκη)]* *Κανίτου* П.-К., но наверное ошибочно; может быть, *Κάν(ταρη)?*

43. 6784/1275 г., инд. 4, сентября 26; л. 22 об. — 23 л.

+ Κωνσταντῖνος ὁ Χαλιβίτ(ης), Θεόδωρος ὁ Βαλεντζιάκων, 23 л. Ἰωάννης | ὁ Κράνης, Νικηφόρος ὁ γαμβρὸς Κώνστα τοῦ Βαλεντζιάκου, Θεόδωρος ὁ γαμβρὸς Βασιλείου τοῦ Παλατίν(ου) ἐποιήσαμεν μοιρασίαν τῶν πέντε ὁλοκοτίνων καὶ τῶν ἓξ τραχχ. καὶ ἀπεχωρίσαμεν τὴν μερίδα τοῦ Ταρωνίτ(ου) τὴν δοθεῖσαν παρ' αὐτοῦ τὴν μονὴν τοῦ τιμίου Προδρόμου τοῦ Ζαβουλῶν καὶ ἰδίᾳ θελήσει τῶν συγγονικαρχίων τῶν ἄνωθεν δηλουμένων ὑπὲρ μνημοσύνου ἡμῶν καὶ τῶν συναδελφῶν ἡμῶν, ὅσοι κἂν καὶ ἐμετέχουν, ἐχωρήσαμεν ⟨τὸ⟩ χωράφιον εἰς τὸ ἀλών(ιν) πλησίον πρὸς τοῦ Κρανίου τὸ μέρος.

μηνὶ σεπτεμβρίῳ κς' ἰνδικτιῶνος δ' ἔτους ͵ςψπδ'. +

4 *ὁλοκοτίνων]* сравн. N. Bees, 'A propos de la monnaie *ὁλοκότινον* (Revue Numism., 1912, стр. 84 след.).

44. (6785/1276 г.) инд. 5, ноябрь; л. 23 л.—об.; изд. Пан.

+ *Ἐγὼ Κωνσταντῖνος ὁ Χαλιβίτης μετὰ καὶ τοῦ πανοσιωτάτου ἱερομονάχου κυρ(οῦ) Ἰωαννικίου τοῦ Σπανοπούλου καὶ μετὰ τῶν αὐταδέλφων αὐτῶν τῶν Βαλεντζιάκων ἔγκλησιν ἐποίησαν πρὸς ἡμᾶς καὶ λέγοντες, ὅτι οἴκοθεν παραμοιρασμένοι καὶ ἀδικημένοι καὶ τὸ δημόσιόν μας τελοῦμεν καθ' ἕκαστον χρόνον, καθὰ καὶ διαφέρει μας τὸ δίκαιόν μας· καὶ ὁ τόπος ἀπολείπεταί μας χρόνους ἱκανούς. ὑπόμνη| σάν το δὲ καὶ εἰς τὸν αὐθέντην μου, καὶ ἦλθε μοι <τὸ> αὐθεν-* 23 об.
τικὸν πιτάκιν, ὅτι νὰ μοιράσωμεν μέχρι καὶ τοῦ δικαίου. εἰδὼς δ' ἐγὼ τὸ αὐθεντικὸν πιτάκιν καὶ τὴν ὄχλησιν αὐτῶν, ἦλθον ἐπιτοπίως καὶ ἔφερον γέροντας· καὶ ἔδωκα καὶ ἐγὼ ἄνθρωπον ἐδικόν μου καὶ ἐπερ(ιε)πάτησαν καὶ ἐμοίρασαν μέχρι καὶ τοῦ δικαίου, καθὰ καὶ τὸ δημόσιον τελοῦσι εἰς τὴν Αἰθέρισαν καὶ Παλαιοματζοῦκαν. καὶ ἐμοίρασαν κατὰ ἀδελφότητα ἐκ τρίτου, καθὼς καὶ τὸ δίκαιον εἶττον. ὁμοίως καὶ εἰς τοῦ Χουλίωνος κατὰ ἀδελφότητα. ἐποιήσαμεν δὲ πρὸς αὐτοὺς γράμμαν, ἵνα ἔξῃ τὸ στέργον καὶ βέβαιον.

παρρησίᾳ Θεοδώρου στρατιώτου τοῦ Ζωσιμᾶ· καὶ Γεωργίου τοῦ Διπλοΐτου· καὶ Ἰωάννου τοῦ Ζεμίωνος· καὶ Ἰωάννου τοῦ Παξιμάτη.

μηνὶ νοεμβρίῳ ἰνδικτιῶνος ε'.

+ *ὁ δοῦλος τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Μεγάλου Κομνηνοῦ Μιχαὴλ ὁ Μαρούλ(ης).* +

3 *οἴκοθεν] εἴκοθεν* ркп.   13 *εἶττον]* должно быть *ἦτον.*

45. Около 6768—6778/1260—1270 г.; л. 23 об.—24 л.

+ *Ἀνελαβόμεθα ἀπὸ σοῦ κυρ(οῦ) καθηγουμένου τοῦ Σπανοπούλου τὸ χωραφοτόπι(ον) τὸ λεγόμενον Σιδεριώνιν, καὶ ἐποίησα αὐτὸ μιτικα| ριών(ιν), καὶ ἔδωκά τον καὶ ἐγὼ τὸ χωράφιον τοῦ* 24 л.
ἀλων(ίου) καὶ ἐπάρθη δεσποτικόν. καὶ ἐποίησα ἀποκοπήν, νὰ τὸν δώσω τὸν ἕνα χρόνον σίτ(ου) μόδια ε', καὶ τὸν ἕτερον χρόνον κριθ(ῆς) μόδια ε'. καὶ ὅταν ὀμματώσῃ καὶ ἔχω τὸ χωράφιν, νὰ ἔχετε αὐτό· καὶ ἐγὼ τὸ μητικαριών(ιν) καὶ τὸ ψωμιάρ(ιν) τοῦ παπᾶ Ἰωαννάκη ἐνώπιον τοῦ θεοῦ.

παρρησίᾳ τῶν τυχόντων μαρτύρων· ἱερέως Ἰωαννάκη τοῦ Σαπουᾶ· καὶ ἱερέως Γεωργίου τοῦ Ἀλπούσῃ· καὶ <τοῦ> ἀνδρικωτάτου κυρ(οῦ) Ῥωμανοῦ τοῦ Ὁμοχωρήτ(ου)· καὶ ἑτέρων πολλῶν.

καὶ ἐγὼ Κωνσταντῖνος ὁ Καστελίτ(ης) ἔγραψα καὶ ἔδωκα καὶ τὸν λόγον μου. +

10 *ἀνδρικωτάτου]* этот эпитет прилагался к *στρατιώτης* (G. Ferrari, Form. notar. ined., p. 21, № 34).

46. 6773/1264 г. инд. 5 (должен быть: 8), **октябрь**; л. 24 л. — об.

Σίγνον	*Νικηφόρου*
τοῦ Χουρ	*τζεριώτου·*

+ *Ἐγὼ Νικηφόρος ὁ Χουρτζεριώτης, ‹ὁ› οἰκειοχείρως τὸν σταυρόν μου ἐγχαράξας, τίθημι καὶ ποιῶ τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον φανερὰν δωρεὰν οὐκ ἔκ τινος βίας ἢ ἀνάγκης ἢ ἄλλης τινὸς ῥαδιουργίας, ἀλλὰ μετὰ θελήσεως καὶ αὐτοπροαιρέσεως προσῆλθον εἰς τὴν μονὴν τοῦ τιμίου Προδρόμου τοῦ Ζαβουλῶν καὶ*
24 об. *κατετάχθην ὡς εἷς τῶν συναδελφῶν. ἐπροσέθηκα | εἰς τὴν μονὴν μικρὰν προσένεξιν εἰς τὸν Ἅγιον Βασίλειον κάτωθεν χωράφιον μοδίου α', ὡσαύτως καὶ εἰς τὴν Κρεμαστὴν πρὸς τὸ χωρίον κάτωθεν στράτας μοδίου α', εἰς μνημόσυνον ἐμοῦ τε καὶ τῆς μητρός μου. καὶ οὐκ ἔχει ἐξουσίαν ὁ πατήρ μου ἤ τις ἐκ τοῦ μέρους τῆς μητρός μου ὀχλῆσαι τὴν μονὴν ἕνεκεν τῶν τοιούτων δύο χωραφίων. εἰ δ' ἴσως καὶ εὑρεθῇ ἐκ τοῦ μέρους τῆς μητρός μου τις ὀχλῆσαι τὴν μονήν, νὰ κληρονομήσῃ τὸ ἀνάθεμα, ἐχέτω δὲ καὶ τὸν Πρόδρομον ἀντίμαχον.*

μηνὶ ὀκτωμβρίῳ ἰνδικτιῶνος ε' ἔτους ,ςψογ'. +

17 ε'] индикт этот соответствовал бы 6770/1261 г., а для 6773 г. должен быть инд. 8.

47. Второй полов. XIII века; л. 24 об.

+ *Ἐγὼ Χριστόδουλος ὁ Κανζίκης ἔδωκα εἰς τὸν τίμιον Πρόδρομον τοῦ Ζαβουλιώτην εἰς τοῦ Χαμουρίου ἐσωχώραφον πλησίον τοῦ Πηγαδίου πρὸς τὸ θαλάττιον μέρος εἰς τὸ δύστρατον μέρος, τραχχ. η'.* +

48. 6857/1349 г., ‹инд. 2›, январь; л. 24 об.—25 об.; изд. П.-К., 85 № 20, и Пан., 105.

+ Ἐπεὶ προσῆλθε πρὸς τὴν καθ' ἡμᾶς σεβασμίαν καὶ ἁγίαν μονὴν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Νύσσης ὁ ἐν κυρίῳ ἡμῶν ἀδελφὸς ὁ καθηγούμενος τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου | καὶ βαπτιστοῦ Ἰωάννου τοῦ Ζαβουλῶν καὶ ᾐτήσατο 25 л. τῇ ἐν Χριστῷ ἡμῶν ἀδελφότητι τοῦ ἐκδοῦναι αὐτὸν χωραφοτόπιον ἐκ τῶν δικαίων καὶ εὐλόγων τῆς καθ' ἡμᾶς ἁγίας μονῆς, τὸ ὂν καὶ διακείμενον ἐκ τῷ βάνδῳ Ματζουκάων καὶ ἐν τῷ χωρίῳ Κουνάκαλης, τὸ περιελθὸν τῇ καθ' ἡμᾶς μονῇ ὡς ἀπολιγάτον τῆς μακαρίτας ἐκείνης Καλῆς τῆς Καφουλίνας τοῦ Κοιλαδ(ίου) τὸ ἀντίμοιρον, τὸ ὅπερ ἀφιέρωσεν τῆς ῥηθείσης Καλῆς ὁ αὐτάδελφος Γεώργιος ὁ Γιαλέας εἰς τὴν μονὴν τοῦ Προδρόμου. ἰδόντες δὲ καὶ ἡμεῖς οἱ τῆς μονῆς τοῦ ἁγίου Γρηγορίου μοναχοὶ τοῦ ῥηθέντος καθηγουμένου τοῦ Ζαβουλιώτου κυροῦ Θεοκτίστου τὴν καλοκαγαθίαν, ἥνπερ εἰς ἡμᾶς ἐκέκτητο, καὶ ἡμεῖς τὸ παρὸν ἡμῶν ἐκδοτήριον γράμμα πρὸς τὴν μονὴν τοῦ Προδρόμου καὶ τὸν ἐν αὐτῇ καθηγούμενον καὶ τοὺς ὑπ' αὐτὸν μοναχοὺς ἐκδεδώκαμεν εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους, μέχρις ἂν ὁ ἥλιος τόδε τὸ πᾶν ἐφορᾷ καὶ ὁ σύμπας διελεύσεται κόσμος. ἀπελά | βομεν δὲ καὶ ἐκ τῶν χειρῶν τοῦ πανοσιωτάτου 25 об. καθηγουμένου τοῦ Ζαβουλιώτου εἰς τὰς ἡμετέρας χεῖρας σῶα πάντῃ καὶ ἀνελλιπῆ τῆς αὐθεντικῆς ἡμῶν χαραγωγῆς ἄσπρα ιε'. διὸ καὶ τοῖς ὕστερον ἐλευσομένοις πατράσι καὶ ἀδελφοῖς ἐν ἁγίῳ πνεύματι παρεγγυώμεθα πάγιον καὶ ἀρραγὲς τὸ παρὸν ἡμῶν πρατήριον[μὴ] διανατρεπόμενον ἢ παρασαλευόμενον, ἀλλὰ τὸ στέργον ἕξει [καὶ βέβαιον] καὶ ἀμετάβλητον ἐν παντὶ [καιρῷ] νόμῳ [τε] καὶ δικαστηρίῳ. διὰ τοῦτο καὶ ἐγεγόνει ἡ παροῦσα ἡμῶν γραφὴ εἰς ἐμφάνειαν καὶ ἀσφάλειαν αἰωνίζουσαν.

μηνὶ ἰανουαρίῳ ἔτους ,ςωνζ'.

+ ὁ καθηγούμενος τῆς σεβασμίας καὶ ἁγίας μονῆς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Νύσσης Μακάριος ἱερομόναχος.

+ γραφεὺς τοῦ παρόντος ὕφους Θεόκτιστος ἱερομόναχος ὁ Μαύρων ὑπέγραψα.

3 ἐνδόξου проп. П.-К. 7 Ματζουκάων] Μουτζακάων П.-К. 20 χαραγωγῆς] χάραγῆς П.-К. 23 παρασαλευόμενον] σαλευόμενον П.-К. 25 καὶ (перед ἐγεγόνει) проп. П.-К. 25—26 ἐμφάνειαν καὶ проп. П.-К. 30 Θεόκτιστος] ὁ добавл. П.-К.

49. 6753/1245 г.; л. 25 об. — 27 л.

Σίγνον | Λέοντος
τοῦ Πυ | ροῦ·

Σίγνον | Κωνσταντίνου
τοῦ Πυρο | πούλου·

Σίγνον | Ἰωάννου
τοῦ Πυ | ροπούλου·

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἡμεῖς οἱ τρεῖς ἀδελφοί, οἱ ἄνωθεν σιγνογραφήσαντες οἰκειοχείρως καὶ κάτωθεν μέλλομεν ὑποτάξαι, οὐκ ἔκ τινος ἀνάγκης, ἢ βίας, ἢ χλεύης, ἢ δυναστείας, ἢ ἀρχοντικῆς ἐπικουρίας, ἀλλ' ἰδίᾳ ἡμῶν θελήσει καὶ προαιρέσει ἐπωλήσαμεν ἐσὲν παπᾶ Νικηφόρον τὸν γαμβρὸν ἡμῶν τόπον τὸ ἐπιλεγόμενον Λευκιώνιν ἄνευ τῆς ἀδελφοτικῆς σου μοιράδος, ὡς καθὼς καὶ περιέχουν τὰ σύνορα ἀπὸ τὴν Φτελέγκολην καὶ τὴν ἄνωθεν. ὡς καθὼς καὶ ἀποσυνοριάζει τὸν Φουρνουτζιώτην· καὶ ἐπαίρει ὁλόραχα τὸ ῥαχήν· καὶ διαχωρίζει εἰς τὸ μέσον τὸ ὁμάλην τὴν βασίλικὴν ὁδόν· καὶ ἀναβαίνει καὶ ἐπαίρει τὰς ἕδρας· καὶ καταβαίνει πλησίον τοῦ Ἁγίου Χριστοφόρου ἕως τὸ Τζορτζονάριν· καὶ πάλιν κλώθει κατήφορα καὶ καταβαίνει ἕως τὸν βασμὸν τὸν κάτωθεν. τὸ μὲν τῆς ἀνατολῆς μέρος ἀποσυνοριάζει τὸν Τζιμπρικᾶν,
26 об. *τὸ δὲ δυτικὸν μέρος ἐπράξαμεν | πρὸς σὲ παπᾶ Νικηφόρον τὸν γαμβρὸν ἡμῶν εἰς τοὺς ἑξῆς καὶ ἅπαντα‹ς› καὶ διηνεκεῖς χρόνους, ἕως ἂν συνίσταται ὁ περίγειος κόσμος. ἐξουσίαν το ἔχεις χαρίζειν, πωλεῖν, ἀλλάττειν, ἀνταλλάττειν καὶ εἰς προῖκα ἐκδοῦναι αὐτὸ καὶ ἄλλο εἴ τι θέλεις. ἐλάβομεν καὶ ἡμεῖς ἀπὸ σοῦ ἕνεκα προσενέξεως εἰς τὰς ἰδίας χεῖρας ἡμῶν ἄλογον βλαγκὴν φοράδα εἰς ἄσπρα ϙπ', καὶ κτῆνον γενούλην εἰς ἄσπρα ϟ', καὶ ἄσπρα ϙ', καὶ κριθ(ῆς) μόδια β', καὶ σίτ(ου) μόδια β'. καὶ οὐκ ἔχει ἄδειαν ἐκ τοῦ μέρους ἡμῶν τις ὄχλησιν ἐπιφέρειν πρὸς σὲ παπᾶ Νικηφόρον τὸν γαμβρὸν ἡμῶν, ἤτε ἐξάδελφος, ἤτε ἀδελφός, ἤτε παῖς, ἤτε κληρονόμος, ἢ ἄλλος τις παρεμποδίσαι σοι ἕνεκεν τοῦ τοιούτου τόπου τοῦ λεγομένου Λευκιωνίου. καὶ οἷος εὑρεθῇ ἐνοχλῆσαι σοι, τὰς ἀρὰς ἐχέτω τῶν τιη' θεοφόρων πατέρων, καὶ ἡ μερὶς αὐτοῦ ἔστω μετὰ τοῦ προδότου Ἰούδα, νὰ δώσῃ δὲ καὶ χάρις προστίματος ἄσπρα ͵α'.*

κατὰ μαρτυρίας τῶν ἐκεῖ|σε τυχόντων· ἱερέως Θεοδώρου τοῦ 27 л.
Θεοφίλου· καὶ Λέοντος τοῦ Σαλαφούντα· Κωνσταντίνου τοῦ Καφούλη· καὶ ἑτέρων πολλῶν.

ἔτους ͵ςψνγ'.

50. 6777/1268 г., инд. 12, октябрь; л. 27 л. — об.

Σίγνον Μαρίας	*πρεσβυτέρας*	*Σίγνον Λέοντος*	*τοῦ Κουρτιστῆ*
τῆς Κουρτι	*στάβας·*	*υἱοῦ Ἀλεξί*	*ου·*

+ Ἐπεὶ ὁ μακαρίτης ἐκεῖνος Νικήτας ὁ Κουρτιστής, ὁ διὰ τοῦ ἀγγελικοῦ σχήματος μετονομασθεὶς Νικόδημος μοναχός, κατοίκησιν ⟨εἶχεν⟩ ἐν τῇ μονῇ τοῦ τιμίου Προδρόμου τοῦ Ζαβουλῶν καὶ τελευτήσας κατετέθη ἐν τῇ αὐτῇ μονῇ, διετάξατο τῷ υἱῷ αὐτοῦ Ἀλεξίῳ τοῦ ἀναθέσαι εἰς τὴν μονὴν γῆν μοδίου ἑνός. ἐφθάσθην δὲ ἀναλαβεῖν ἐκ τοῦ καθηγουμένου δανειακὰ ἄσπρα δώδεκα, αὐτὸς δὲ δέδωκεν εἰς τοῦ Ζέρζερι χωράφιον χοινικῶν τεσσάρων. μετὰ δέ τινας χρόνους ἐπάρθη ὁ τοιοῦτος τόπος παρ' ἑτέρων γονικαρχίων καὶ ἡ μονὴ ἀπέμεινεν ζητούλ(η). ἔφθασε δὲ θάνατος Ἀλέξιον τὸν Κουρτιστὴν τὸν υἱὸν τοῦ ἄνωθεν δηλουμένου Νικοδήμου, καὶ ἡ μονὴ ἐνόχλ(ησεν) τὰ παιδία Ἀλε|ξίου τοῦ Κουρτιστῆ. διὰ τοῦτο 27 об.
ἐλθὼν ἡ παπαδία αὐτοῦ χήρα ἡ Κουρτιστάβα, ἰδιοχείρως ποιήσασα τοῦ ὕφους τὴν σιγνογραφίαν, ὁμοίως καὶ Λέων ὁ ἀνευσιὸς αὐτῆς παραδεδώκασιν πρὸς τὸ μέρος τῆς μονῆς ἐν τῇ στάσει τῶν Βασακίων χωράφιον κάτωθεν καὶ πλησίον τῆς Αὐλέας σίτου χοινικῶν τεσσάρων εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. καὶ ἀπὸ τὴν σήμερον ἔσται ἡ μονὴ κύριος ⟨καὶ⟩ δεσπότης τοῦ τοιούτου τόπου καὶ ἡμεῖς ἀνενόχλητοι ἀπὸ τοῦ τοιούτου χρέους.

μηνὶ ὀκτωμβρίῳ ἰνδικτιῶνος ιβ'.

παρρησίᾳ τῶν παρευρεθέντων μαρτύρων τῶν εὐλαβεστάτων ἱερέων· Βασιλείου τοῦ Σαπούα· Ἰωαννάκη τοῦ Σαπούα· καὶ Ξαντίνου τοῦ Κατένη· τοῦ αὐθεντικοῦ κουρτουναρίου Ἰωάννου τοῦ Καλοῦ τοῦ ἀπὸ χώρας Πέτρωμας· καὶ ἀπὸ χωρίου Ζούζας· Κωνσταντίνου τοῦ Χαϊμᾶ· Λέοντος ἀναγνώστου τοῦ Σφενταβόλ(α).

ἔτους ͵ςψοζ'.

4 не следует ли исправить в *κατοίκησεν*, не вставляя *εἶχεν*? 11 *ζητούλη* встречается еще только в записях Солунских XV в. (BZ, XXIV, 146, 147).

51. Второй полов. XIII века; л. 27 об.—28 л.

Σίγνον	*Βα-*
σιλεί	*ου·*

+ *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. πρὸ πολλῶν χρόνων ἐφθάσθην μετὰ τοῦ ἀδελφοῦ μου ἀποχαρί|*
28 л. *σασθαι εἰς τὸν τίμιον Πρόδρομον γῆν ψωμιαρ(ίου) α'ἥμ. σύνεγγυς (τοῦ) χωραφίου οὗ ἐξηγοράσαμεν ἐκ τῶν Βικενατόρων. τὰ νῦν δὲ ἐδεήθημεν τοὺς καλογήρους, καὶ ἠσχολήθησάν μας ἄσπρα ε' (καὶ) ἑτέρας εὐεργεσίας· καὶ ἐδώκαμεν τὴν ἀσφάλειάν μας τοῦ μηκέτι γυρευθῇ ὁ τοιοῦτος τόπος ἐκ τοῦ μέρους μας, ἀλλὰ ἐξουσίαν ἔχουν οἱ μοναχοὶ τὸν τοιοῦτον τόπον ὡς καὶ τὰς ἑτέρας αὐτῶν ἀγορασίας.*

6 *Βικενατόρων]* сравн. *Βουκενατ.* в **39**.

52. Второй полов. XIII века (6777/1269 г.?), инд. 12; л. 28 л.—29 л.

+ *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. εἰ καὶ πάντες τὸ ζῆν προελόμεθα, ἀλλ' ὁ θάνατος πάντας ἐπίσης λυμαίνεται. διὰ τοῦτο κἀγὼ Ἄννα πρεσβυτέρισα ἡ Λυ(κ)ουδία, δι' ἧς ἡ καταμονή μας ἐν τῇ στάσει τῆς Χορτοκόπης, ἐν ἀσθενείᾳ δεινῇ περιπεσὼν καὶ φοβηθεὶς τὸ ἀπαραίτητον τοῦ θανάτου μυστήριον, μήπως ἐπέλθοι μοι ἐν ὥρᾳ ᾗ οὐ γινώσκω, καὶ διὰ τοῦτο σώας καὶ ἐ⟨ρ⟩ρωμένας τὰς φρένας ἔχων καὶ τὸν νοῦν ἀπερικλόνητον, διατάσ-*
28 об. *σο|μαι τὴν ἁμαρτωλήν μου ψυχὴν καὶ τῶν ὑπὲρ ἐμὲ ὄντων παίδων καὶ συγγενῶν. ἀφίημι τὴν ψυχήν μου εἰς τὸν τίμιον Πρόδρομον τοῦ Ζαβουλῶν, καὶ τῶν παιδίων μου Γεωργίου καὶ Θεοδώρου σὺν τῶν ἀνευσιῶν μου καὶ πάντων τῶν γονέων καὶ συγγενῶν μου, καὶ ἅπαντα τὰ γονικά, ὅπου μας διαφέρουν πατρικὰ ⟨καὶ⟩ μητρικά, καὶ τὰς ἀγορασίας ὑπὲρ ψυχικῆς ἡμῶν σωτηρίας. διότι οὐκ ἀπελείφθη μοι τις ἐκ τοῦ μέρους μου· καὶ διὰ τοῦτο ἐποίησα ἴδιον κληρονόμον εἰς τὰ ἀκίνητα ἡμῶν γονικὰ τὸν αὐθέντη μας τὸν τίμιον Πρόδρομον.*

χωραφοτόπιον εἰς τοῦ Κουιᾶ, ὅπου ἔσωθεν τὸ μανδρίν.
εἰς τὸν Ἅγιον Ἀκίνδυνον τὰ λωρία τὰ Ὁμοχωριτέσια.
τὰ Παλαιομανδρ(ία)·

τὸ ἐναύλιν εἰς τὴν ἕδραν.
καὶ κάτωθεν εἰς τοῦ Τετενὰ τὰ κομάτια·
καὶ εἰς τοῦ Κλειδᾶ,
καὶ εἰς τὸ Μῆλον ἔνθεν κομάτιν.
εἰς τὸ Στεγνολιθον.
εἰς τὸν Σταυρὸν ἐκεῖθεν κομάτιν.
εἰς τοῦ Καντζῆ.
εἰς τοῦ Ζαυλεντίωνος, τὸ ἔχω ἀγορασίαν ἀπὸ τὸν Ποντᾶν.
εἰς τοῦ Κανζίκη ἀπάνου ὁ κῆπος ἀ(...)|νι τοῦ παπᾶ Μιχάλ(η). 29 л.
τὸ κηπὴν τῆς ἕδρας ἂς ἔνι Θεοδώρου τοῦ Ἀνδρονικᾶ.
εἰς τὸ Ῥαχὴν τὸ λωρὶν ἂς ἔνι τοῦ Παύλου.
ἔχω πανὶν σπιθαμὰς τριάκοντα καὶ ἓν σακὶν καμασίαν.
χρεωστεῖ με καὶ ὁ Παῦλος χοινικ(ὸν) κριθάρ(ιν) ἂς ἔναι τῆς ψυχῆς μου.
καὶ εἰς τοῦ Τέρα ἔχω χωράφιν μὲ τὸν Ἀνδρονικάν· ἂς ἔνι τοῦ κῦρι Κάλου.
καὶ εἰς τοῦ Κούντη τὸ χωράφιν ἄνωθεν κομάτιν· ἂς ἔναι τοῦ Προδρόμου.
καὶ τὰ ἕτερα, ὅπου καὶ ἐὰν εὑρεθῶσιν ἐκ τῶν πατρικῶν καὶ μητρικῶν μου γονικῶν, ἔστωσαν τῆς μονῆς. καὶ οὐκ ἔχει ἄδειάν τις ἐκ τοῦ μέρους μου ἀνατρέψαι τὴν φανερὰν καὶ ἀμετάβλητον διαθήκην μου. οἷος δὲ φανῇ εἰς ἀνατροπήν, οὐ μόνον οὐκ ὀφείλει εἰσακουσθῆναι, ἀλλὰ καὶ τὰς ἀρὰς ἐπισπάσηται τῶν τιη' θεοφόρων πατέρων, καὶ νὰ ἔχῃ καὶ τὸν Πρόδρομον ἀντίμαχον.
παρρησίᾳ τῶν τυχόντων μαρτύρων· Παγκάλου τοῦ Βουβαλᾶ· Παύλου τοῦ Ζιγανίτου· καὶ Θεοδώρου τοῦ Ἀνδρονικᾶ.
ἰνδικτιῶνος ιβ'. +

π λ'
13—14 ἀπελήφθη ркп. 20 Τετενὰ] Τετανᾶ в **143**. 28 παμιχα ркп. может быть следует читать Παπαμιχάλη или Παπαμιχαλᾶ? 35 κῦρι Κάλου] κυρικάλου ркп.

53. 6764/1256 г., инд. 14, январь; л. 29 л. — 30 л.; изд. П.-К., 83 № 16.

+ Ἐγὼ ὁ ταπεινὸς ἐπίσκοπος Σατάλου Κοσμᾶς.
|+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. 29 об.

ἐγὼ ὁ ταπεινὸς Κοσμᾶς ἐπίσκοπος Σατάλου, ὁ ἄνωθεν προτάξας καὶ κάτωθεν μέλλων ὑποτάξαι, ἀνατίθημι εἰς τὴν μονὴν τοῦ τιμίου Προδρόμου τοῦ ἐπονομαζομένου Βαζελῶν ἐν τῇ στάσει τῆς Χορτοκόπης γῆν ψωμιαρῶν τραπεζούντικα ἓξ εἰς τὸ Πέδιν, τῷ περιελθόντι μοι διὰ λεγάτου ἀπὸ τὸ πνευματικόν μου τέκνον κυρ(ὸν) Θεόδωρον τὸν Βαρδαλήν, τὸ ἐξ οἰκείας αὐτοῦ ἀγορασίας καὶ παρ' αὐτοῦ κατεχόμενον. ἐγὼ δὲ ὑπὲρ μνημόσυνον ἐμοῦ τε καὶ τοῦ πνευματικοῦ μου ⟨τέκνου⟩ ἀνέθηκα αὐτὸ εἰς τὴν ἄνωθεν δηλουμένην μονὴν τοῦ τιμίου Προδρόμου εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. καὶ οὐκ ὀφείλει αὐτὸς ὁ Βαρδαλὴς ἢ ἡ αὐτοῦ γυνὴ ἤ τις ἐκ τοῦ μέρους αὐτοῦ ἐνοχλεῖν τὴν μονὴν ἕνεκεν τοῦ τοιούτου τόπου. οἷος δὲ ἐνοχλεῖ τὴν μονήν, ἃς ἔχει τὸ ἀνάθεμαν· ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα ἡμετέρα φανερὰ παράδοσις ἐγεγόνει καὶ ἐπεδόθη τῇ μονῇ εἰς
30 л. | ἀσφάλειαν.

μηνὶ ἰανουαρίῳ ἰνδικτιῶνος ιδ' ἔτους ,ςψξδ'.

+ ὁ ταπεινὸς Κοσμᾶς Σατάλου ἐπίσκοπος ⟨ὁ⟩ καὶ κάτωθεν προτάξας ὑπέταξα. +

6—7 τῆς Χορτοκόπης] τοῦ Χορτοκόπ П.-К. 7 должно быть τὸ περιελθόν. 9 Βαρδαλὴν] Βαρδάλην П.-К. 19 вместо κάτωθεν должно стоять ἄνωθεν, как выше 3.

54. Около 6768—6778/1260—1270 г.; л. 30 л. — об.

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

κἀγὼ ἱερεὺς Θεόδωρος ὁ Τζερτεύης μετὰ τῶν ἀδελφίων μου ὅλων καὶ τῶν ἐξαδελφίων μου καὶ συμβίων ἡμῶν καὶ τέκνων ἰδίᾳ βουλῇ καὶ προαιρέσει ἐδώκαμεν εἰς τὸν τίμιον Πρόδρομον τοῦ Ζαβουλῶν εἰς τὴν Παλαιοματζούκαν τόπον τὸ ἐπιλεγόμενον Χαλία κατασπορὰν χοινικὸς μεγάλου, ἵνα το ἔχῃ ἡ μονὴ εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους, ἕως ἂν συνίσταται ὁ περίγειος κόσμος. καὶ ἡμεῖς νὰ μνημονευώμεθα αἰωνίως εἰς τὸν τίμιον Πρόδρομον. καὶ οὐκ ἔχει ἄδειάν τις ἐκ τοῦ μέρους ἡμῶν ὀχλῆσαι τὴν μονήν. καὶ οἷος ὀχλοίη, εὕροι τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως.

παρρησίᾳ τῶν ἐκεῖσε τυχόντων μαρτύρων· Γεωργίου τοῦ Ζαχα-
30 об. ριοπούλου· καὶ Ἰω | αννάκη τοῦ Σαπούα· Κώνστα τοῦ Σούτου· καὶ ἑτέρων πολλῶν.

6 κατὰ σπορὰν ркп

55. Около 6758—6768/1250—1260 г.; л. 30 об.

Σίγνον	Βασιλείου
τοῦ Παλα	τίνου·

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ Βασίλειος ὁ Παλατῖν(ος) ἔδωκα εἰς τὴν μονὴν τοῦ Προδρόμου τοῦ Ζαβουλῶν χωράφιον χοινικῶν τεσσάρων εἰς τὸ Βασακίον κάθεν τὸ λεγόμενον τὸ Κράνιν. καὶ οὐκ ἔχει ἄδειάν τις ἐκ τοῦ μέρους μου ὀχλῆσαι τὴν μονήν. οἷος δὲ ἐνοχλεῖ αὐτὴν ἕνεκεν τοῦ τοιούτου τόπου, ἃς ἔχει τὸ ἀνάθεμαν καὶ νὰ δώσει καὶ ἀερικὸν ὑπέρπυρα δ'. τὸν δὲ τόπον ὀφείλει ἔχειν ἡ μονὴ εἰς τοὺς ἑξῆς ἅπαντα<ς> καὶ διηνεκεῖς χρόνους.

παρρησίᾳ Θεοδώρου τοῦ Σαπούα· καὶ Ἰωαννάκη τοῦ Βαλεντζιάκωνος· καὶ Κωνσταντίνου τοῦ Πελαγιώτου.

γραφεὺς Κωνσταντῖνος ὁ Μουρμοῦ. +

56. Около 6808/1300 г.; л. 30 об. — 31 л.

Σίγνον	Γεωργίου
τοῦ Γι	αλέα·

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ Γεώργιος ὁ Γιαλέας, ὁ τὸν θεῖον καὶ ζωοποιὸν σταυρὸν ἄνωθεν προ|τάξας, ἰδίᾳ βουλῇ καὶ θελήσει δέδωκα τὸ χωράφιον τὸ λεγόμενον (31 л.) τοῦ Κοιλαδίου ὅλον εἰς τὴν Κουνάκαλιν ὑπὲρ ψυχικῆς σωτηρίας τὸ ἐμὸν καὶ τῶν γονέων μου εἰς τὴν μονὴν τοῦ τιμίου Προδρόμου τοῦ Ζαβουλῶν, νὰ τὸ ἔχῃ ἡ τοιαύτη μονὴ καὶ νέμεται εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. καὶ οὐκ ἔχει ἄδειάν τις ἐκ τοῦ μέρους μου ὀχλῆσαι τὴν ἁγίαν μονὴν ἕνεκεν τοῦ τοιούτου χωραφίου. ὁ δὲ τοῦτο βουλόμενος τῇ ἀρᾷ ὑποκείσεται τῶν ἁγίων <τιη'> θεοφόρων πατέρων. καὶ πάλιν ἡ παροῦσα μου ψυχικὴ δωρεὰ ἐχέτω τὸ στέργον καὶ βέβαιον.

ἐν παρρησίᾳ κυροῦ Λέοντος τοῦ Σαρουτζᾶ· Ἄνθη τοῦ Τζακλήρη· καὶ Γεωργίου τοῦ Παπαγεωργοπούλου. +

57. 6768/1260 г., инд. 3, июль; л. 31 л.—32 л.; изд. Пан.

✠ *Κωνσταντῖνος ἱερεὺς ὁ Χαμούρης οἰκείᾳ χειρὶ προέταξα.*

✠ *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ⟨ἐγὼ⟩ Κωνσταντῖνος ἱερεὺς ὁ Χαμούρης, ὁ οἰκειοχείρως ἄνωθεν προτάξας, παρόντων καὶ τῶν τιμιωτάτων ἱερέων καὶ συγγενῶν μου,* 31 об. | *τίθημι καὶ ποιῶ ἑκουσίᾳ βουλῇ καὶ θελήσει καὶ προαιρέσει πρὸς σὲ τὸν πανοσιώτατον ἱερομόναχον κυρ(ὸν) Ἰωαννίκην τὸν Σπανόπουλον καὶ πρὸς τοὺς συναδελφούς σου. καὶ γὰρ ἐκ τῶν γειτόνων μου τινὲς εὑρέθησαν καὶ μετὰ ὅρκου ἐξαπέσπασαν τὸ γονικόν μου ἀπ' ἐμέ, ἀλλὰ καὶ ἀπὸ ὅλους τοὺς συναδελφούς μου. καὶ πολλῶν λεγομένων κατηντήσαμεν εἰς τὰς ἡμισείας, εἰς ἃ ἐκρατῶμεν καὶ ἐνεμόμεθα γονέων καὶ προγονέων μας. ἤλθαμεν δὲ καὶ εἰς ἐκταγὴν καὶ ἐζητοῦσαν μας ἄσπρα κδ'. καὶ μὴ ἰσχύσας ταῦτα δῶσαι ἐκ τοῦ βίου μου, προσῆλθον πρὸς τὸν ἄνωθεν δηλωθέντα κυρ(ὸν) Ἰωαννίκην τὸν Σπανόπουλον καὶ ἔλαβον ἐξ αὐτοῦ ἄσπρα κδ'. καὶ δέδωκα πρὸς αὐτὸν γῆν ψωμιαρίων τοπικῶν πέντε τὸ διακείμενον ἄντικρυ τῆς(...)νας εἰς τὰ ἀλώνια μέσα, εἰς τοὺς ἑξῆς ἅπαντα⟨ς⟩ καὶ διηνεκεῖς χρόνους. καὶ ἀπὸ τὴν σήμερον οὐκ ἔχω ἐξουσίαν αὐθεντεῦσαι τὴν τοιαύτην* 32 л. | *γῆν τῶν δηλωθέντων ψωμιαρίων ε'. εἰ δ' ἴσως καὶ ἀνατρέπω καὶ ἔρχομαι εἰς ἀναζήτησιν τοῦ τοιούτου γονικοῦ τῶν δηλωθέντων πέντε ψωμιαρίων, ἵνα δώσω χάριν προστίματος ἄσπρα ρ'. καὶ πάλιν ἡ γραφή μου ἐχέτω τὸ στέργον καὶ βέβαιον.*

μηνὶ ἰουλίῳ ἰνδικτιῶνος γ' ἔτους ,ϛψξη'.

✠ *Βασίλειος ἱερεὺς ὁ Σαπούας μαρτυρῶν ὑπέγραψ(α).*

Θεόδωρος ἱερεὺς ὁ Σαπούας μαρτυρῶν ὑπέγραψ(α). ✠

58. Около 6768/1260 г.; л. 32 л.—об.

Σίγνον	*ἱερέως*
Κωνσταντίνου	*το. Χαμούρη·*

✠ *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ Κωνσταντῖνος ἱερεὺς ὁ Χαμούρης, ὁ τὸν τίμιον σταυρὸν οἰκειοχείρως ἄνωθεν προτάξας, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπό-*

γραφον ἀσφάλειάν μου φανερὰν καὶ καθαρὰν πρᾶσιν τοῦ προλεχθέντος γονικοῦ εἰς τὰ ἐναύλια τὸ λωρίν· πέπρακα αὐτὸ πρὸς σὲ Κωνσταντῖνον τὸν Καστελίτην, καὶ ἀπέλαβον ἀπὸ σοῦ τὸ τίμημαν ἄσπρα κ'. ἐξουσίαν το ἔχεις πωλῆσαι, χαρίσαι | καὶ εἰς προῖκαν δοῦ- 32 об.
ναι. καὶ οὐκ ἔχει ἄδειαν κανεὶς ἐκ τοῦ μέρους μου ἢ τῶν παίδων καὶ κληρονόμων μου ἀνατρέψαι τὴν παροῦσαν μου πρᾶσιν. ὁ δὲ τοῦτο βουλόμενος ὀφείλει δώσειν ἀερικὸν ἄσπρα ν'.

παρρησίᾳ τῶν τυχόντων μαρτύρων.

59. Около 6773/1265 г., инд. 8, марта 27; л. 32 об.—33 л.

Σίγνον	Θεοδώρου τοῦ	Σίγνον	Γεωργίου τοῦ
Βαλεν	τζιάκου·	Ἀνδρο	νικᾶ·

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου.

ἡμεῖς οἱ ἄνωθεν οἱ τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς οἰκειοχείρως ἐγχαράξαντες, ἐξασφαλιζόμεθα καὶ συμβιβαζόμεθα πρὸς σὲ τὸν πανευλαβέστατον συναδελφὸν ἡμῶν κὺρ Γεώργιον τὸν Ταρωνίτην τοῦ εἶναι αὐτὸν μεθ' ἡμῶν κατ' ἰσότητα τῆς ἀδελφοτικῆς ἡμῶν γῆς ἐν τῇ στάσει τῇ λεγομένῃ ἐγχωρίως τοῦ Μαζάσπη εἰς εἴ τι δίκαιον κατέχει καὶ νέμεται ἡ στάσις. καὶ οὐκ ἔχομεν ἐξουσίαν ἀπὸ τὴν σήμερον ἡμέραν εἰς τὴν ἐπι | λαχοῦσαν με μερίδα 33 л.
ἐνοχλῆσαι ἢ διασεῖσαι τὸ σύνολον ἢ εἰς μεταμέλειαν ἐλθεῖν ἐν μεταμελείᾳ τῆς ἀδελφοτικῆς σου μερίδος τῆς ἐν τῇ τοιαύτῃ στάσει τοῦ Μαζάσπη διαφέρουσαν ἡμῖν μερίδα, καθὼς ἄνωθεν ἔφημεν. εἰ δ' ἴσως χωρεθοῦμεν εἰς προφάσεις ματαίας καὶ ἀνωφελεῖς, οὐκ ἂν εἰσακουσθησόμεθα, εἴ τι ἄρα καὶ λέγοιμεν, ἀλλὰ νὰ διδωμεν καὶ χάρις προστίμου τὰς μερίδας τῶν γονικῶν ἡμῶν, καθὼς καὶ δεδήλωται <ὁ δὲ> ἡμῶν συναδελφὸς ὁ πανευλαβέστατος κὺρ Γεώργιος ὁ Ταρωνίτης ἐποίησε πρὸς ἡμᾶς τὴν συμβιβαστικὴν αὐτοῦ ἀσφάλειαν.

μηνὶ μαρτίῳ εἰς τ(ὰ) κζ' ἰνδικτιῶνος η'.

+ Μιχαὴλ ἱερεὺς ὁ Σαμούχης μαρτυρῶν ὑπέγραψ(α). +

10—11 εἴ τι] ἤτοι рκп.

60. Около 6783/1275 г., инд. 3, июнь; л. 33 л. — 35 л.; перев. Усп., Анн., 109.

+ Θεόδωρος ὁ Βραδὺς ὁ καὶ υἱὸς Εὐδοξίας τῆς Ταρωνίτησας οἰκείᾳ χειρὶ προέταξα.

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.
ἐγὼ Θεόδωρος ἱερεὺς ὁ Ταρωνίτης εἰ καὶ μηδὲν ἄξιον τῆς τοῦ θεοῦ
33 об. λόγου καὶ τῆς εὐπρεπείας | τοῦ ἁγίου ναοῦ αὐτοῦ ἔχων προσενεγκεῖν,
ἀλλ᾿ ἐπεὶ ἡ θεία γραφὴ πασῶν τῶν ἀρετῶν κεφάλαιον τὴν πρὸς
θεὸν ἀγάπην καὶ πίστιν ὀρθὴν ἔφησεν εἶναι, καὶ σέβας καὶ τιμὴν
τὴν εἰς τοὺς ἁγίους αὐτοῦ κατὰ τὸ δυνατὸν νέμειν ἀπαιτούμεθα,
κἀγὼ οὖν πίστει ὀρθῇ καὶ καθαρῷ συνειδότι ἀνατίθημι εἰς τὸν
ναὸν τοῦ τιμίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου τοῦ Ζαβουλῶν
τὸ γονικὸν τὸ ἐν τῇ στάσει Αἰθέρισα τραχχ. ιε΄ τὸ ἐκ τῆς μοίρας
μου, τοῦ εἶναι αὐτὸ εἰς ὑπηρεσίαν καὶ συγκρότησιν τοῦ τοιούτου ναοῦ·
καὶ μένειν αὐτὸ ἀνεκποίητον καὶ ἀναφαίρετον εἰς τοὺς ἑξῆς ἅπαντας
καὶ διηνεκεῖς χρόνους, ὑπὲρ λυτρώσεως καὶ ἀφέσεως τῶν ἐμῶν
ἁμαρτιῶν καὶ σωτηρίας μου ψυχικῆς ἕνεκεν. παρεγγυῶμαι δὲ καὶ
τοῖς ἐκδιαδόχοις τῷ ἁγίῳ τούτῳ καὶ σεβασμίῳ ναῷ προσμένουσιν
34 л. ἱερεῖς καὶ μοναχοὶ τοῦ κατ᾿ ἔτος ἀναζητεῖν | καὶ νομεύεσθαι τὴν
διαφερομένην πρόσοδον τοῦ γονικοῦ τῶν ιε΄ τραχχ. ὁμοίως καὶ τοὺς
ἐμοὺς συναδελφοὺς καὶ συγγονικαρίους διαμαρτύρομαι τοῦ μὴ ἀπο-
κρατεῖν ἢ παρασύρειν κλοπικῶς ἐκ τῆς ἀνατεθείσης μου τοιαύτης
δόσεως τοῦ γονικοῦ ἐν τῇ δηλωθείσῃ μονῇ τοῦ τιμίου Προδρόμου
τὸ διαληφθὲν Ζαβουλῶν. ὁ δὲ τοῦτο βουλόμενος τοῖς θείοις κανόσιν
ἀντιτάσσεται τῶν ἱερῶν ἀποστόλων καὶ τῷ τῆς ἱεροσυλίας ἐγκλή-
ματι περιπίπτει, ᾧ περιέπεσον Ἀνανίας καὶ ἡ Σάπφειρα. ἀλλ᾿ ἵνα
στέργωσιν καὶ ἐπιβεβαιοῦσιν, καθὼς <εἰς> τὸ παρὸν ἐπικυρωτικόν μου
γράμμα δεδήλωκα ἐνδιαθήκως, εἰς τὴν τοιαύτην μονήν· ὃ καὶ ἐγγρά-
φως διὰ τοῦ παρόντος ὕφους ἐκδέδωκα.

+ Ὅθεν κἀγὼ Εὐδοκία ἡ ἀδελφὴ Θεοδώρου ἱερέως τοῦ Ταρω-
νίτου ἡ μετονομασθεῖσα ἐν τῷ ἀγγελικῷ σχήματι Εὐδοξία, |
34 об. εἰδὼς τὸ τοιοῦτον θεάρεστον ἔργον τοῦ ἐμοῦ αὐταδέλφου πρωτο-
παπᾶ κυρ(οῦ) Θεοδώρου τοῦ Ταρωνίτου, τῇ οἰκείᾳ βουλῇ καὶ συνερ-
γείᾳ τοῦ υἱοῦ μου κυρ(οῦ) Θεοδώρου, ὑπὲρ ψυχικῆς ἕ(νε)κα σωτηρίας
τὸ ἐμὸν καὶ τῶν γονέων μου, ἐπὶ παρουσίᾳ τοῦ πανευλαβεστάτου

ἱερέως Κωνσταντίνου τοῦ πνευματικοῦ μου πατρὸς ἐν τῇ διαθήκῃ ἐδήλωσα, ὅτι τὸ γονικόν, τὸ ἔχω ἐν τῇ στάσει Αἰθέρισα ἤτοι τοῦ Μαζάσπη τῶν ιε' τραχχ. ἀπὸ ὅρου καὶ ποταμοῦ, κήπου καὶ δένδρων, γῆς χερσαίου καὶ λιβαδίου, ἵνα τὸ ἔχῃ καὶ νέμεται ἡ μονὴ τοῦ τιμίου Προδρόμου εἰς τοὺς ἑξῆς καὶ ἅπαντα‹ς› καὶ διηνεκεῖς χρόνους. ὅστις δὲ βούλεται ἀφελέσθαι ἐκ τοῦ τοιούτου γονικοῦ τῶν ιε' τραχχ. καὶ παρεμποδίσαι τὴν μονήν, ἐχέτω τὴν μερίδα μετὰ τοῦ προδότου Ἰούδα καὶ τὴν ἀρὰν τῶν τιη' θεοφόρων πατέρων. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρόν μου δηλωτικὸν ἔγγραφον μετὰ καὶ τῆς βουλῆς τοῦ υἱοῦ μου ἐγεγόνει καὶ ἀνετέθη μετὰ [τοῦ ἀδελφοῦ μου τὴν προσα- 35 л.
γωγὴν ἐν τῷ ναῷ τοῦ πανενδόξου καὶ θείου Προδρόμου.

μηνὶ ἰουνίῳ ἰνδικτιῶνος γ'.

Κωνσταντῖνος ἱερεὺς ὁ Μαρινὰς οἰκείᾳ χειρὶ μαρτυρῶν ὑπέγραψ(α).

Ἰωαννάκης ὁ Βαλεντζιάκων μαρτυρῶν ὑπέγραψ(α).

Ἰωαννάκης ὁ Γουσμάνων μαρτυρῶν ὑπέγραψ(α).

Θεόδωρος ὁ Ἀρταβαστόπουλος μαρτυρῶν ὑπέγραψ(α).

Μιχαὴλ ἀναγνώστης ὁ Κατρ(ῆς) μαρτυρῶν ὑπέγραψ(α).

ὁ δὲ προτάξας Θεόδωρος οἰκείᾳ χειρὶ πάλιν ὑπέγραψ(α).

16 ἐκδιαδόχοις] должно быть ἐκ διαδοχῆς. 17 ἱερεῖς καὶ μοναχοὶ] должно быть ἱερεῦσι καὶ μοναχοῖς. 24 φ]δ ркп. 51 προστάξας ркп.

61. Второй полов. XIII века; л. 36 л. — об.

Σίγνον	Νικηφόρου
τοῦ Τουρ	κοθερ(ιανοῦ).

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ Νικηφόρος ὁ Τουρκοθεόδωρος ὡς καθότι καὶ ἐπῆρα ἄσπρα κ' ἀπὸ τὸν Ζούζιλαν καὶ ἐδῶκα τον ἀνόχερον τὸν τόπον τὸ λεγόμενον Φωράπ(ην). ὁ δὲ Ζούζιλας ἔδωκεν εἰς τὸ μοναστήριν τὸ αὐτὸ τοπίον τὸ λεγόμενον Φωράπ(ην) καὶ ἔλαβον καὶ ἐκ τοῦ μοναστηρίου ἕτερα ἄσπρα κ' ὡς τοῦ δηλωθέντος τόπου, ἅπερ φθάνουν ἄσπρα μ'. καὶ τὰ μὲν [μ' ἄσπρα ἔφθασαν εἰς ἐμὲ ὡς ἐλόγου τοῦ τόπου, 35 об.
τὰ μὲν κ' ἀπὸ τὸν Ζούζηλαν, τὰ δὲ ἕτερα κ' ἀπὸ τὸ μοναστήριν.

*

ὁ δὲ τόπος ἐδόθη εἰς τὴν μονὴν παρὰ τοῦ Ζούζηλα, ἵνα τὸ ἔχῃ καὶ νέμεται εἰς τοὺς ἑξῆς. ὁμοίως καὶ παρ᾽ ἐμοῦ Νικηφόρου τοῦ Τουρκοθεοδώρου ἐξ οἰκείας μου βουλῆς καὶ προαιρέσεως, ἐποίησα κἀγὼ διὰ γραφῆς μου τὸ παρόν μου πρατήριον, ἵνα ἔχῃ τὸ μοναστήριον τὸν τόπον ἀνενοχλήτως εἰς τοὺς ἑξῆς καὶ ἅπαντα.

κατὰ μαρτυρίας Γεωργίου τοῦ Κανζίκη· καὶ Βασιλείου τοῦ Ἀρετ(ὰ)· καὶ Ξένου τοῦ Λυκούδη· καὶ Ἰωάννου τοῦ Πελαγιώτου.

καὶ οἷος ἀνηλογεῖ, ὀφείλει δῶσ(ειν) ἄσπρα ν'. ἡ δὲ γραφὴ τὸ στέργον ἔξοι καὶ βέβαιον. ✝

3 *Τουρκοθεριανοῦ*] это же прозвище у Никифора в **106**, но легкость смешения *Θεριανός* с *Θεόδωρος* не дает возможности с уверенностью признать ошибкой *Τουρκοθέοδωρος*, а не *Τουρκοθεριανός*, и для решения в определенную сторону необходимо по крайней мере знать, находится ли *Ψωράπην* в *στάσις τοῦ Μαζάσπη*.

62. Второй полов. XIII века; л. 35 об. — 36 об.

✝ *Κατὰ τὸν μῆνα σεπτέμβριον ἐγεγόνει μοιρασία τῶν πέντε ὁλοκοτίνων καὶ τῶν ς' τραχχ. σὺν τὰ Βαλεντζιακέ(σια).*

καὶ ἔλαχεν τὸν Ταρωνίτ(ην) τὸ Νυσσήν, τοὺς Ἀνδρονικάντας τὸ πλαγιάζει·

36 л. *τὸ ἕτερον τὸ Κατάποδα καὶ αὐτὸ τοὺς Ἀν|δρονικάντας·*

τοὺς Μιχαλάντας καὶ τὸν Κλιτότην τὸ Σιδεριώνιν·

ὡσαύτως ἔλαχεν τὸν Ταρωνίτην τὸ λωρὶν τὸ ἄνωθεν στράτας·

τοὺς Ἀνδρονικάντας ἔλαχεν τὰ δύο χωρία εἰς τὸ Κράνην τὸ ἄνωθεν στράτας·

τοὺς Μιχαλάδας καὶ τὸν Κλιτώτην εἰς τὴν Βλαστινόην·

εἰς Αἰθέρισαν ἔλαχεν τὸν Ταρωνίτ(ην) τὸ ἥμισυ τοῦ Ψωράπη·

καὶ τὸ ἥμισυ τὸν Κλιτώτην·

τὸν Μιχαλὰν τὸ Κράνην.

τοὺς Ἀνδρονικάντας τὸ Ἀπιώνιν καὶ τὸ Ἀχαντιώνιν·

ὡσαύτως τὸν Ταρωνίτην τὸ Ἀνπροβέσιν·

τοὺς Ἀνδρονικάντας τοῦ ἀλωνίου τὸ ἔσωθεν· καὶ τὸ ἄνωθεν στράτας τὰ Θονάρια ὅλον.

τὸ Λουτούδι τοὺς Μιχαλάδας καὶ τὸν Κλιτώτην·

τὸ κάθεν στράτας τὰ Θονάρια ἔλαχεν τὸν Ταρωνίτην·

καὶ εἰς Χαχαμὰν τὸ εἶχεν·

καὶ οἱ ἕτεροι ἔδωκαν τὰ μερτικὰ αὐτῶν εἰς τὴν Κρεμαστήν·
ὡσαύτως τὸν Ταρωνίτην τὸ Λουτούδιν, ὃ καὶ προεῖχεν·
καὶ εἰς τὰ Σωλέν(ια) ἔχουν ἀντίσικον οἱ Μιχαλοκλιτῶτοι·
| καὶ τὸ κάτωθεν οἱ Ἀνδρονικάντοι· 36 об.
εἰς τοῦ Κορών(η) τὸ ἀλώνιν ἔχουν οἱ Κλιτομιχαλάντοι·
εἰς τὸ Κοιλάδ(ιν) ἔλαχεν τὸν Ταρωνίτην· ὃ καὶ προεῖχεν·
εἰς τὸ Γερακευτέριν ἔλαχεν τοὺς Μιχαλοκλιτότους.
οἱ Ἀνδρονικάντοι τὸ Κατάποδα·
καὶ ἀντὶ τῆς Αὐλέας ἔχει ὁ Ταρωνίτης τοῦ Ἁγίου Λογγίνου τὸ κάθεν· καὶ εἰς τοῦ Χουλίωνος τὸ Ὑποκέπιν.

23 ἀντίσικον] αὐτοὶ οἶκον читал П.-К.

63. (6786/1278 г.), инд. 6, март; л. 36 об. — 37 л.

Σίγνον	Λέοντος
τοῦ Κουρ	κούκα

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ του ἁγίου πνεύματος.

ἐγὼ Λέων ὁ Κουρκούκας τίθημι καὶ ποιῶ ἑκουσίως καὶ αὐτοθελήτως, ἰδίᾳ μου θελήσει καὶ γνώμῃ πρὸς τὴν σεβασμίαν μονὴν τοῦ Προδρόμου τοῦ ἐν τῷ Βαζελῷ καὶ πρὸς τοὺς ἐν αὐτῇ μοναχοὺς ψυχικὸν ἐμοῦ τε καί τῶν γονέων μου ἐν τῇ στάσει τῆς Αἰθέρισας ἐκ τῶν πατρικῶν μου γονικῶν τῶν η' τραχχ. τὸ τρύτων τρίτον εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. καὶ ἀπὸ τὴν σήμερον ἡμέραν ὀφείλετε οἱ μοναχοὶ | παραλαβεῖν τὸ τοιοῦτον γονικὸν τὸ ἄνωθεν δηλού- 37 л. μενον τῶν η' τραχχ. τὸ τρίτον, ἐσωχωραφίων καὶ ἐξωχωραφίων, ἔνθα καὶ διαφέρει τῶν η' τραχχ. ἡ νομή. ὀφείλετε δὲ ὑμεῖς οἱ μοναχοί γράφειν με ἐν τῷ ἁγίῳ διπτύχῳ καὶ ἔχειν με εἰς μνημόσυνον ἀεννάως.

μηνὶ μαρτίῳ ἰνδικτιῶνος ς'.

παρουσίᾳ τῶν τυχόντων μαρτύρων.

+ οἱ δοῦλοι τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ αὐτοκράτορος ‹τοῦ Μεγάλου Κομνηνοῦ› καὶ πριμικήριος βάνδους Ματζουκάων Ἰωάννης ὁ Πηξαρίτης·

καὶ ἀλαγάτ(ο)ρ(ες) τοῦ αὐτοῦ βάνδους Ματζουκάων Εὐγένιος ὁ Ψωμᾶς· καὶ Ἀλέξιος ὁ Ψωμᾶς.

+ *Κωνσταντῖνος ὁ Χαλιβίτης· Θεόδωρος ὁ Βαλεντζιάκος· Ἰωάννης ὁ Κράνης· Νικηφόρος.*

24 этот же Никифор в 43 назван *ὁ γαμβρὸς Κώνστα τοῦ Βαλεντζιάκου.*

64. 6767/1259 г., инд. 2, август; л. 37 л. — 38 л.; изд. П.-К., 84 № 18, и Пан.

Σίγνον | Γεωργίου·
τοῦ Μα | τζουκαΐτ(ου)·

+ *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.*
[κἀγὼ] Γεώργιος ὁ Ματζουκαΐτης, ὁ ἄνωθεν τοῦ παρόντος
ὕφους τὸν τίμιον σταυρὸν οἰκειοχείρως ἐγχαράξας, τὴν παροῦσαν
37 об. *ἔγγραφον καὶ ἐνυπό|γραφον ἐκδοτικὴν συμφωνίαν τίθημι καὶ ποιῶ*
οἰκείᾳ βουλῇ καὶ θελήσει πρὸς σὲ τὸν πανοσιώτατον καθηγούμενον
κὺρ Ἰωαννίκιον τὸν Σπανόπουλον καὶ πρὸς τὴν ἰδίαν σου μονὴν
τοῦ Βαζελοῦ· γονικόν μου πατρικὸν ἐν τῷ βάνδῳ Ματζουκάων χω-
ρίον Χαλάβενα, στά(σις) τὸ Τζηλαρίσι, τὴν πέμπτην μερίδα τῆς
τοιαύτης στάσεως, ὡς ἵνα κατέχῃ αὐτὸ ἡ μονὴ καὶ νέμεται ἀπὸ ὄρου
καὶ ποταμοῦ, ἐσωχωραφίων [καὶ] ἐξωχωραφίων, γῆς δαψιλείας τε
καὶ δασείας, δένδρων καρπίμων τε καὶ ἀκάρπων καὶ λιβαδίων.
ἔφθασε δὲ πρὸς ὀλίγον λαβεῖν καὶ ὁ ἐξαδελφός μου κὺρ Κωνσταν-
τῖνος ὁ Βουβαλᾶς ἀπὸ τὸ τοιοῦτον γονικὸν χωράφιον μοδίου ἑνὸς
τοπικοῦ. ὅπερ καὶ ἐδημόσευσεν αὐτὸ τραχ. ἕν. τὸ δὲ ἕτερον γονικὸν
ὅσον καὶ [ἂν] ἔναι, ἡ πέμπτη μερὶς τῆς στάσεως, ἐχέτω ἡ μονὴ εἰς
ἀναφαίρετον δεσποτείαν εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. εἰ δ᾽
ἴσως τις [ἐκ τοῦ μέρους μου ἢ] ἐκ τῶν συγγενῶν μου εὑρεθῇ κακό-
38 л. *τροπος ἢ ἕτερός τις ἐκ τῶν πλησιαζόντων μοι βου|ληθῇ ἐνοχλῆσαι*
τὸ μέρος τῆς μονῆς σου, ὡς ὅτι ἐξεδόθη ποτὲ εἰς αὐτὸν τόπον, ἐγὼ
ὀφείλω αὐτὸν ἀποπαῦσαι, ὁποῖος [καὶ] ἂν εἴη, ἤγουν τὸ μέρος μου,
τὸ δὲ μέρος τῆς μονῆς [σου] ἀζήμιον καὶ ἀνενόχλητον ἀποκατα-
στῆσαι. ἔλαβον δὲ ἀπὸ τὰς χεῖρας σου ἕνεκα προσενέξεως ἄσπρα
κυρμανουηλάτ(α) κδʹ. καὶ τὸ ἐπέκεινα τῆς ἀξίας τιμῆς ἐγράφην ἐν
τῷ διπτυχαρίῳ.

ἐγεγόνει δὲ ἡ ἔγγραφος φανερὰ πρᾶσις ἐν τῇ μονῇ παρρησίᾳ καὶ τοῦ ἐξαδελφοῦ μου κυροῦ Κωνσταντίνου τοῦ Βουβαλᾶ.

μηνὶ αὐγούστῳ ἰνδικτιῶνος β' ἔτους ,ςψξζ'. +

4—5 *τοῦ παρόντος ὕφους τὸν τίμιον σταυρὸν οἰκειοχείρως*] *οἰκειοχείρως τοῦ παρόντος ὕφους τὸν σταυρὸν* П.-К. 8 *Ἰωαννίκιον*] *Ἰωάννην* П.-К. 9 *Βαζελοῦ*] *Ζαβουλὼν* П.-К. 10 *Χαλάβενα*] *Χαλάβαν* П.-К. 11 *στάσις*] *στάσει* П.-К. 10 *τὸ Τζηλαρίσι*] *τοῦ Τζηλάρε* П.-К. 11 *ὡς* проп. П.-К. 11 *ὅρου*] *ὅρου* ркп., П.-К. исправляет в *ὅρου(ς)*. 14 *πρὸς ὀλίγον*] *πρὸ ὀλίγου* П.-К. 15 *γονικὸν* проп. П.-К. 16 *τραχ.*] *τὸ* П.-К. 21 *τὸ μέρος τῆς μονῆς*] *τὴν μονήν* П.-К. 21 *ὡς* проп. П.-К. 21 *ἐξεδόθη ποτὲ εἰς αὐτὸν*] *ἐπεδόθη αὐτῇ* П.-К. 22 *ἤγουν τὸ μέρος μου* проп. П.-К. 24—25 *ἄσπρα κυρμανουηλάτα*] *κὺρ Μανουήλικα* П.-К. 28 *τοῦ ἐξαδελφοῦ μου*] *τῶν ἐξαδέλφων* П.-К.

65. Около 6810/1302 г.; л. 38 л.—39 л.; (п. и.); русск. перев. бо́льшей полов. у Усп., 1015—1016.

Σίγνον	*Ἄννας*
τῆς Ἐλαφι	*νάβας*

+ *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.*

ἐγω Ἄννα ἡ Ἐλαφινάβα ἡ τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν οἰκείᾳ χειρὶ ἄνωθεν προτάξασα, οἰκείᾳ θελήσει καὶ προαιρέσει τίθημι καὶ ποιῶ. ἐπεὶ ἔτυχέ με καὶ ἦλθα ἐν | τῇ μονῇ τοῦ τιμίου Προδρόμου 38 об. *τοῦ ἐν τῷ Βαζελῷ διὰ τὸν θάνατον τῆς Τζιμπρικάβας, μᾶλλον ὄντος καὶ τοῦ αὐτοῦ Τζιμπρικᾶ ἐκ τῆς μητρὸς αὐτοῦ τὸν θάνατον, ὁμοίως καὶ ἕτεροι γέροντες τοῦ τόπου. καὶ ἰδοῦσα ἐγὼ τὸν τόπον τοῦ μοναστηρίου καὶ τὴν διάθεσιν ἠράσθην τοῦ τόπου καὶ ἠγάπησεν ἡ ψυχή μου τὸν τόπον τοῦ μοναστηρίου. καὶ ψυχικῆς μου σωτηρίας ἕνεκεν ἐποίησα εἰς τὸ μοναστήριον πρόθεσιν, καὶ ἀνέθηκα τὰ γονικά μου τὰς ἡμισείας ἐν τῇ αὐτῇ μονῇ τοῦ Προδρόμου. καὶ ἐπεὶ διὰ τῆς ἐπελεύσεως τῶν Ἀγαρηνῶν ἀπελείφθησαν οἱ κατὰ συγγένειάν μοι διαφέροντες, ἐποίησα κληρονόμον τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον εἰς ἅπερ ἄνωθεν ἐδήλωσα γονικά μου τὰς ἡμισείας, ὅπου ἂν καὶ ἔχω, ἤγουν εἰς τοῦ Τζιμπρικᾶ καὶ εἰς τοῦ Καμπανᾶ καὶ εἰς τὴν Παλαιοματζούκαν· τὰ (....)μείν(....) ἡμισείας ἐφῆκα τὸν Τζιμπρικᾶν. καὶ οὕτως ἀνέθηκα τὰ δηλωθέντα μοι τοπία εἰς τὸν Πρόδρο-*

39 л. μον πρὸς μνημόσυνον | τὸ ἐμὸν καὶ τῶν ἀποθεμένων μου. οἷος δὲ ἀνατρέπει ἢ ἀνασείει τὴν παροῦσαν μου ψυχικὴν δωρεάν, εἴτε συγγενὴς εἴτε ἄλλος τις, ἐχέτω τὴν ἀρὰν τῶν τιη' θεοφόρων πατέρων καὶ τῆς ἐμῆς ἁμαρτωλῆς τὴν ἀγανάκτησιν.

παρουσίᾳ ἱερέως Νικηφόρου τοῦ Λουτρενοῦ· καὶ Θεοδώρου ἱερέως τοῦ Τερμόνη· καὶ Θεοδώρου τοῦ Καφούλη· καὶ ἑτέρων πολλῶν. +

66. Первой полов. XIV века; л. 39 л. — 40 л.

Σίγνον	Γεωργίου
τοῦ Γαυ	ρᾶ·

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

ἐγὼ Γεώργιος ὁ Γαυράς, ὁ ἄνωθεν προτάξας, τὴν παροῦσαν μου ἔγγραφον οἰκειοχείρως καὶ κάτωθεν μέλλω ὑποτάξαι· ὡς καθὼς καὶ ἦλθα ἀπὸ τὴν αἰχμαλωσίαν, καὶ ἦλθα εἰς Κουνάκαλιν καὶ ἐψηλάφησα τῆς μητρός μου τὰ γονικά, καὶ ηὗρα τὸ χωράφιν τὸ Καλογιαρέσιν ,ὅτι ἀπεχαρίσατο ὁ θεῖος μου τὴν μοῖραν του τὸν τίμιον Πρόδρομον τὸν Βαζελιώτην πρὸς μνημόσυνόν του καὶ τοῦ μέρους ἡμῶν, καὶ ἐγράφη 39 об. εἰς τὸ διπτυχάριον· καὶ ἰδὼν ἐγὼ τοῦτο τὸ θεάρεστον ἔργον, | δέδωκα καὶ ἐγὼ τὴν ἐπιλαχοῦσαν μου μερίδα τῆς μητρός μου εἰς τὴν μονὴν τοῦ τιμίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου ὑπὲρ ψυχικῆς σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῆς μητρός μου καὶ τὸ ἐμόν, καὶ τῶν γονέων μου, καὶ τῶν ἀδελφῶν μου, καὶ τοῦ θείου μου. καὶ οὐκ ἔχει ἄδειαν κανεὶς ἐκ τοῦ μέρους μου, εἴτε ἀδελφός, εἴτε τις τῶν συγγενῶν μου, εἴτε ἄλλος ἕτερος, ὀχλῆσαι ἢ ἀνατρέψαι τὴν τοιαύτην ψυχικὴν δωρεὰν τὸ ἐμὸν καὶ τοῦ μέρους μου, ὅπερ ἀνέθηκα εἰς τὴν ῥηθεῖσαν μονὴν τοῦ τιμίου Προδρόμου, δι' οὗ καὶ ἐνεγράφημεν ἐν τοῖς ἱεροῖς διπτύχοις. οἷος δὲ εὑρεθῇ ὀχλητὴς ἕνεκεν τῆς τοιαύτης δωρεᾶς τῆς δοθείσης ὑπὲρ ψυχικῆς σωτηρίας τὸ ἐμὸν καὶ τοῦ μέρους μου, ἵνα ἔχῃ ἀντίμαχον τὸν Πρόδρομον ἐν ἡμέρᾳ κρίσεως, ὀφείλει <δὲ> δώσειν καὶ χάριν προστίματος ἄσπρα ν'. καὶ πάλιν ἡ παροῦσα ἡμῶν ψυχικὴ δωρεὰ ἐχέτω τὸ στέργον καὶ βέβαιον.

κατὰ μαρτυρίας τῶν τυχόντων.

40 л. ἀπέλαβον δὲ καὶ ἀπὸ τὴν ἁγίαν μονὴν | τοῦ Προδρόμου χάριν

εὐλογίας ἄσπρα ιδ' ἐνώπιον κυρ(οῦ) Παγκάλου τοῦ Βουβαλᾶ, καὶ κυροῦ Θεοδώρου τοῦ Καφούλη· καὶ Θεοδώρου τοῦ Παπαρωμανοπούλου· καὶ ἑτέρων οὐκ ὀλίγων. +

67. Второй полов. XIII века; л. 40 л.

+ ‹Τ›οῦτα εἰσὶν τὰ χωράφια τὰ εἰς τὴν Κρένασαν τοῦ Βαζελοῦ· χωράφιον τοῦ Ἀμιλίου.

χωράφιον τὸ Ἀχαντιώνιν ἀποσυνοριάζει κάτωθεν τὸν Ζούζιλαν· ἔχει καὶ δύο φτελονάπια·

ἕτερα χωράφια δύο εἰς τὸν Ἅγιον Βασίλειον· τὸ ἓν εἰς τὸ Ἀκρολίμνιν καὶ τὸ ἄλλο εἰς τὸν Ἅγιον Βασίλειον κάθεν πρὸς τοῦ ῥυμίου τὸ μέρος ἀποσυνοριάζει· τὸ ἔχει ὁ Δουβερίτης ἀγορὰν ἀπὸ τὸν Μακρόν. +

68. Второй полов. XIII века, инд. 8, июль; л. 40 л. — об.

Σίγνον	Κωνσταντίνου
τοῦ Καστε	λίτα·

+ Ἐγὼ Κωνσταντῖνος ὁ Καστελίτ(ας) ἀπεχαρισάμην τὸν τόπον, ὃ ἐξωνησάμην ἐκ τοῦ ἱερέως Θεοδώρου τοῦ Χαμούρη, εἰς τὴν μονὴν τοῦ τιμίου Προδρόμου τοῦ ἐν τῷ Βαζελῷ πρὸς ψυχικήν | μου σωτη- 40 об.
ρίαν καὶ τῶν γονέων μου, εἰς τους ἑξῆς καὶ διηνεκεῖς χρόνους. καὶ οὐκ ἔχει ἐξουσίαν κανεὶς ἐκ τοῦ μέρους μου ποτὲ τῶν καιρῶν ἀνατρέψαι τὴν παροῦσαν μου χαριστικὴν δωρεάν. ὁ δὲ τοῦτο βουλόμενος ἐχέτω τὴν ἀρὰν τῶν τιη' θεοφόρων πατέρων. καὶ πάλιν ἡ παροῦσα μου χαριστικὴ δωρεὰ ἐχέτω τὸ στέργον καὶ βέβαιον.

κατὰ μαρτυρίας τῶν προδηλωθέντων ἱερέων καὶ τοῦ Παγκάλου.

μηνὶ ἰουλίῳ ἰνδικτιῶνος η'.

Κωνσταντῖνος ὁ Καστελίτ(ας) ‹ὁ› ἄνωθεν προτάξας καὶ κάτωθεν ὑποτάξας. +

69. Второй полов. XIII века; л. 40 об. — 41 л.

+ Ἐγὼ Γεώργιος ὁ Νομικός, ἰδίᾳ θελήσει καὶ προαιρέσει τὸ ἐμόν τε καὶ τῆς συμβίου μου, ἔδωκα τὸν τόπον τὸ διακείμενον ἐν τῷ

χωρίῳ Χαλάβενας καὶ πλησίον τοῦ ἀλων(ίου)· καὶ τὸ μὲν ἐδικόν μου φθάνει κατασπορὰ ψωμιαρίου ἑνός, τὸ δὲ τῆς συμβίου μου ψωμιαρίων β'. ἅπερ δεδώκαμεν ἐν τῇ ἁγίᾳ μονῇ τοῦ τιμίου Προδρόμου τοῦ Βαζέλων, ἵνα κατέχῃ αὐτὸ καὶ νέμεται εἰς τοὺς ἑξῆς
41 л. *καὶ διηνεκεῖς χρόνους. καὶ οὐκ ἔχει | ἄδειαν κανεὶς ἐκ τοῦ μέρους μου ἐνοχλῆσαι αὐτὴν τὴν μονήν. ὁ δὲ τοῦτο βουλόμενος ἐχέτω ἀντίμαχον τὸν τίμιον Πρόδρομον. καὶ ἡ γραφή μου ἔχει τὸ στέργον καὶ βέβαιον.*

κατὰ μαρτυρίας Γεωργίου τοῦ Παξυμάτ(η), καὶ Ἰωάννου τοῦ Μουκάπ(α).

70. Второй полов. XIII века; л. 41 л. — об.

\+ *Θεόδωρος ἱερεὺς ὁ Λιμπὸς οἰκείᾳ χειρὶ προέταξα.*

\+ *Βασίλειος ἀναγνώστης ὁ τούτου υἱὸς οἰκείᾳ χειρὶ προέταξα.*

\+ *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.*

ἐγὼ Θεόδωρος ἱερεὺς ὁ Λιμπὸς ὁ ἄνωθεν οἰκείᾳ χειρὶ προτάξας μετὰ καὶ τοῦ υἱοῦ μου τοῦ Βασιλείου. ἐπεὶ ἐφθάσθην Ἄννα ἡ θυγάτηρ μου καὶ ἐσχόλασεν εἰς τὴν μονὴν τοῦ τιμίου Προδρόμου τοῦ Ζαβουλῶν, συνέβη δὲ αὐτὴν ἀσθενῆσαι καὶ ἐν τῇ ἀσθενείᾳ αὐτῆς συνέβη αὐτὴν ὁ θάνατος, καὶ τὸ κοινὸν χρέος ἐλειτούργησεν. οἱ δὲ μοναχοὶ οἱ ἐγκάτοικοι τῆς μονῆς ταύτης ἐδιηκόνησαν αὐτὴν εἰς τὴν
41 об. *ἀσθένειαν αὐτῆς, καὶ ἐκούρευσαν αὐτὴν | καὶ ἐπωνόμασαν αὐτὴν Ἀνυσίαν, καὶ ἐκήδευσαν αὐτὴν ἐν τῇ μονῇ τῇ αὐτῇ. ἡμεῖς πρὸς μικρὰν παρηγορίαν τῶν μοναχῶν δεδώκαμεν εἰς τὴν μονὴν τὸ τοπίον, τὸ ἔχομεν εἰς τοῦ Χουλίωνος πλησίον τοῦ ἀλων(ίου), ἕνεκα ψυχικῆς σωτηρίας τῆς θυγατρός μου, ὅπερ φθάνει χοινικὸς κατασπορά, ἵνα το ἔχῃ καὶ νέμεται εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. καὶ οὐκ ἔχει ἄδειαν κανεὶς ἐκ τοῦ μέρους ἡμῶν παρεμποδίσαι τὴν τοιαύτην μονὴν ἕνεκα του τοιούτου τοπίου.*

\+ *Θεόδωρος ἱερεὺς ὁ Λιμπὸς μετὰ καὶ τοῦ υἱοῦ μου καὶ κάτωθεν ὑπέταξα καὶ ὑπέγραψα.* +

71. Около 6791/1283 г.; л. 41 об. — 42 л.

\+ *Κώνστας ὁ Καμελαύκης οἰκείᾳ χειρὶ προέταξα.*

\+ *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.*

ἐγὼ Κώνστας ὁ Καμελαύκης ἐδώκα ἐσὲν παπᾶ Λέων τὸν Ζιγανίτην τόπον εἰς τὸ Κράνιν ψωμιαρίων (ἕξ)· καὶ τῶν μὲν τριῶν ψωμιαρίων λιγάτον τῆς συμβίου μου· καὶ | τῶν ἑτέρων τριῶν εἶχα 42 л. *ἐξ ἀγορασίας ὑπὲρ ψυχικῆς ἡμῶν σωτηρίας· ἵνα τὸ ἔχεις καὶ νέμεσαι εἰς τοὺς ἑξῆς. καί οὐκ ἔχει ἄδειαν κανεὶς ἐκ τοῦ μέρους μου ποτὲ τῶν καιρῶν παρεμποδίσαι σοι. ὁ δὲ τοῦτο βουλομενος ὀφείλει δώσ<ε>ιν χάριν προστίματος ἄσπρα ν'.*

72. Около 6791/1283 г.; л. 42 л.

ὁμοίως καὶ ἐγὼ παπᾶ Λέων ὁ Ζιγανίτ(ης) μετέδωκα τὸ αὐτὸ τοπίον ἤγουν τῶν ἓξ ψωμιαρίων, ὑπὲρ ψυχικῆς μου σωτηρίας εἰς τὴν ἁγίαν μονὴν τοῦ τιμίου Προδρόμου τοῦ ἐν τῷ Βαζελῷ εἰς τοὺς ἑξῆς. καὶ οὐκ ἔχει ἄδειαν κανεὶς ἐκ τοῦ μέρους μου ἐνοχλῆσαι τὴν μονὴν ἕνεκεν τοῦ τοιούτου τόπου. ὁ δὲ τοῦτο βουλομενος τῇ ἀρᾷ ὑπολη φθήσεται τῶν ἁγίων <τιη'> πατέρων.

κατὰ μαρτυρίας Γεωργίου τοῦ Σαπούα· καὶ Γεωργίου τοῦ Ζούζιλα. +

72 написан слитно с 71.

73. Второй полов. XIII века; л. 42 л. — об.

+ *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.*

ἐγὼ Ἰωάννης ὁ Κοτζονὰς μετὰ τοὺς αὐταδέλ | φους μου Μιχαὴλ 42 об. *καὶ Ῥωμανὸν ἐπαρέδωκα πρὸς σὲ τὸν γαμβρόν μου Κωνσταντῖνον τὸν Μουρμοῦ τὸ Νυσσὴν τὸ χωράφιον τὰ τρία αὐτοῦ μοίρας, λόγου τὸ ἡμέτερον τῶν τριῶν ἀδελφῶν ψυχικῆς ἕνεκα σωτηρίας τῆς μητρὸς ἡμῶν. ἡ δὲ τετάρτη μερὶς ἔναι τοῦ ἀδελφοῦ ἡμῶν. οἷος δὲ ἐνοχλεῖ σε ἕνεκα τοῦ τοιούτου τόπου, ὀφείλει δώσ(ειν) ἄσπρα ν'.*

4 *τὰ τρία]* должно быть *τὰς τρεῖς*.

74. Второй полов. XIII века; л. 42 об. — 43 л.

ὁμοίως καὶ ἐγὼ Κωνσταντῖνος ὁ Μουρμοῦ ἐπούλησα ἐσὲν Ἰωαννίκην τὸν Σπανόπουλον εἰς τοῦ Χουλίωνος· τὸ Νυσσὴν τὸ χωράφιν,

τὸ εἶχα ἀπὸ τοὺς Κοτζονάντας εἰς τοὺς ἑξῆς. καὶ ἔλαβα τὸ τίμημαν
τοῦ αὐτοῦ χωραφίου ἄσπρα λς΄. καὶ οἷος ἐκ τοῦ μέρους μου ἔρχεται
πρὸς ἀνατροπὴν καὶ ἐμποδισμὸν τῆς τοιαύτης μου πράσεως, ὀφεί-
λει δώσ‹ε›ιν χάριν προστίματος ἄσπρα ν΄. καὶ πάλιν τὸ παρόν μου
πρατήριον ἐχέτω τὸ στέργον καὶ βέβαιον.
κατὰ μαρτυρίας τῶν εὐλαβεστάτων· Θεοδώρου ἱερέως ‹τοῦ....›·
43 л. καὶ Λέοντος | μοναχοῦ ‹τοῦ....›· καὶ ἑτέρων πολλῶν. +

74 написан слитно с **73**.

75. Вероятно, 6783/1275 г., инд. 3, апрель; л. 43 л.—об.

Σίγνον	Βασιλείου
τοῦ	Χάλδη·

+ Ἐγὼ Βασίλειος ὁ Χάλδης ἐπώλησα τὸ γονικόν μου εἰς Σαχ-
νόην εἰς τὰ τέσσαρα τὸ ἕν, ἄνευ τὸ ‹ὅπερ› ἐπώλησα τὴν Φώτα τὸ
λωρίν. τὰ δὲ ἕτερα ὅλα νὰ εἶναι εἰς τὸν τίμιον ‹Πρόδρομον› τῆς
‹μονῆς› τοῦ Βαζελοῦ, ἀπὸ ὅρου καὶ ποταμοῦ, κήπου καὶ δένδρων,
γῆς χερσαίας καὶ λιβαδίων, ξύλων καρπίμων τε καὶ ἀκάρπων, εἰς
τοὺς ἑξῆς καὶ ἅπαντας καὶ διηνεκεῖς χρόνους. ὁμοίως καὶ τὰ δύο
καρύδια, τὰ στήκουν εἰς τὸ χωράφιον, τὰ ἐπώλησα τὴν Φώτα, νὰ
ἔχῃ καὶ αὐτά. καὶ ἀπὸ τοῦ νῦν οὐκ ἔχει ἐξουσίαν οὔτε ἐγὼ οὔτε ἀδελφὸς
ἢ συναδελφός, οὔτε ἐκ τῶν παίδων καὶ κληρονόμων μου, ἢ καὶ
διαδόχων μου, ἢ ἄλλος τις ἐκ τοῦ μέρους μου, ἀνατρέψαι καὶ ἐλθεῖν
43 об. εἰς ἀναζήτησιν τοῦ τοιούτου γονικοῦ σὺν τοῖς | διαφέρουσιν δένδροις
καὶ λοιποῖς νομοῖσι. ὁ δὲ τοῦτο βουλόμενος, οἷος δ᾿ ἂν καὶ εἴη,
ὀφείλει ζημιωθῆναι ὑπὲρ λόγου προστίματος ἄσπρα ρ΄. καὶ μετὰ
τὴν δόσιν τοῦ προστίμου ἡ γραφή μου πάλιν ἐχέτω τὸ στέργον καὶ
βέβαιον.
παρρησίᾳ τῶν τυχόντων μαρτύρων· Γερασίμου ἱερομονάχου τοῦ
Ἑπτακομίτ(ου)· καὶ Γερασίμου μοναχοῦ τοῦ Πολίτ(ου)· Εὐθυμίου
ἱερομονάχου τοῦ Φουτζανᾶ.
μηνὶ ἀπριλίῳ ἰνδικτιῶνος γ΄.
+ ὁ δὲ γραφεὺς τοῦ ὕφους Κοσμᾶς ἱερομόναχος ὁ Λαλάτζης
μαρτυρῶν ὑπέγραψ(α). +

76. Вероятно, 6783/1275 г.; л. 43 об. — 44 л.

Σίγνον	Ζωῆς
τῆς Χάλ	δένας·

+ Ἐγὼ Ζωὴ ἡ Χάλδενα ἔδωκα τὸ γονικόν μου τῆς Σαχνόης εἰς τὸν Πρόδρομον τὸν Ζαβουλὼν καὶ ἐπῆρα ἀπὸ τὴν μονὴν ἄσπρα ιβʹ. τὸ δὲ ἐπέκεινα ἀφῆκα εἰς τὴν ἁγίαν μονὴν ψυχικῆς ἕνεκα σωτηρίας τὸ ἐμὸν καὶ τοῦ συμβίου μου, καὶ ἐγράφημεν εἰς τὰ δίπτυχα τῆς ἁγίας μονῆς. καὶ οὐκ ἔχει | ἄδειαν κανεὶς ἐκ τοῦ μέρους μου ἐνοχλῆ- 44 л.
σαι τὴν ἁγίαν μονήν ἕνεκα τοῦ τοιούτου τόπου. ὁ δε τοῦτο βουλόμενος ἐχέτω ἀντίμαχον τὸν τίμιον Πρόδρομον.

77. Второй полов. XIII века; л. 44 л.—об.

Σίγνον	Βασιλείου
τοῦ Ζω	σιμᾶ·

Σίγνον	Ἄννας
τῆς συμβίου	αὐτοῦ·

+ Ἐγὼ Βασίλειος ὁ Ζωσιμᾶς καὶ Ἄννα ἡ σύμβιός μου, οἱ ἄνωθεν τοὺς σταυροὺς ἡμῶν ἐγχαράξαντες, ἐπαρεδώκαμεν τὸ γονικὸν ἡμῶν ὅλον εἰς τὸν τίμιον Πρόδρομον τὸν Ζαβουλὼν ὑπὲρ ψυχικῆς ἡμῶν σωτηρίας εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους, πατρικά τε καὶ μητρικά, ψυχικὰ λήγατα καὶ ἀγορασίας, ἀπὸ ὅρου καὶ ποταμοῦ, ὅπου κἂν καὶ εὑρεθῶσι. καὶ οἷος ἐκ τοῦ μέρους ἡμῶν ἕνεκα τοῦ γονικοῦ τούτου ἐνοχλεῖ τὴν μονὴν τοῦ Βαζελοῦ, τὸ ὅπερ ἐδώκαμεν ὑπὲρ τῆς ψυχῆς ἡμῶν, νὰ ἔχῃ τὸ ἀνάθεμα.

παρρησίᾳ | Λέοντος τοῦ Λαλάτζη· καὶ Κωνσταντίνου ἱερέως τοῦ 44 об.
Πολίτ(ου)· καὶ Γεωργίου ἱερέως τοῦ Σανιάνου· καὶ ἑτέρων πολλῶν.

+ ὁ δὲ γραφεὺς τοῦ ὕφους Κωνσταντῖνος ἱερεὺς ὁ Διπλοΐτης. +

78. 6799/1291 г., инд. 9 (должно быть: 4), июль; л. 44 об.— 45 л.

+ Ἐγὼ Ἀνυσία μοναχὴ ἡ Καλιάβα ἐν ἀσθενείᾳ κατάκειμαι· καὶ φοβηθεῖσα τὸ ἀπαραίτητον τοῦ θανάτου ποτήριον ἐποίησα διαθήκην περὶ τῆς ψυχῆς μου. ἐπεφῆκα δὲ τὸν υἱόν μου καὶ τὰ γονικὰ καὶ

κτίσματα τὸν πνευματικόν μου πατέρα κυρ(ὸν) Κοσμᾶν κληρονόμον καὶ διαταγωγόν. καὶ εἴ τι ποιεῖ τὸν υἱόν μου, οἶδεν ὁ θεὸς καὶ ἡ ψυχή του. καὶ ἀντὶ τῆς κουρᾶς τῆς καλογηρικῆς μου, ὃ ἐσφράγισέ με, ἂς ἔχει τὸ χωράφιον τὸ διακείμενον εἰς τοῦ παπᾶ Βασιλείου τὸ ὀσπίτιον ἐνπρὸς εἰς τὸ Χορτοκόπην. καὶ εἰς τὰ ἕτερα τὰ πατρικὰ καὶ μητρικὰ ἂς ἔναι διαταγωγός. καὶ καθ' ἕκαστον ἔτος ἄς με
45 л. μνημονεύσῃ ὡς δύναται. | καὶ μὰ τὸν θάνατον, τὸ μέλλω δώσειν, τινὰ τίποτε οὐ χρεωστῶ, οὐδὲ τόπον ἐπώλησα, οὐδὲ εἰς τὸ Χορτοκόπην, οὐδὲ εἰς Ποντίλας, οὐδὲ εἰς τοῦ Καντζῆ, οὔτε ἀλλαχοῦ πούποτε.

παρρησίᾳ τοῦ εὐλαβεστάτου ἱερέως Ἰωάννου τοῦ Ψωμᾶ· Θεοδώρου ἱερέως τοῦ Σανιάνου· Ἰωαννακη τοῦ Χαντζόη.

μηνὶ ἰουλίῳ ἰνδικτιῶνος θ' ἔτους ,ςψϟθ'. +

1 Καλιάβα от муж. р. Κάλης. 5 εἴ τι] ἤτοι ркп. 15 θ'] писец смешал с δ' подобно тому, как и **103**, 24.

79. Около 6768/1260 г.; л. 45 л. — 46 л.

+ Εἰ καὶ πάντες τὸ ζῆν προελόμεθα, ἀλλ' ὁ θάνατος πάντας ἐφίσης λυμαίνεται. κἀγὼ τοίνυν Κωνσταντῖνος ὁ Τζαβαλίτης ἐν ἀσθενείᾳ δεινῇ περισχεθεὶς καὶ τὸ τοῦ θανάτου πτοηθεὶς μυστήριον, ἐποίησα διαθήκην τὰ κατ' ἐμέ, ἵνα μετὰ τὴν ἐμὴν ἐκδημίαν περὶ τῆς ταπεινῆς μου ψυχῆς εὕρω ἄνεσιν. λόγου σαρακοστοῦ τῆς ψυχῆς μου ἄσπρα κ' καὶ τὰ β' καβάδια ἐπιτάφιν μου. τὸ γονικὸν τὸ ἐπιλανχάνει με ἀπὸ ὅρου, κήπου, δένδρων καὶ λιβαδίων, ἀφίημι αὐτὰ εἰς τὴν
45 об. μονὴν τοῦ ἁγίου | Ἰωάννου τοῦ Ζαβουλῶν.

τὰ δὲ κατ' ὄνομα χωράφιά μου εἰσὶν ταῦτα·

εἰς Σπέλ(ιν) καὶ εἰς τῶν Μουντανιτῶν χωράφιον τὸ Μετοίκην πεκούλιν μου,

χωράφιον εἰς τῆς Θεοτόκου τὸ Βῆμα·
χωράφιον εἰς τοῦ Φώτη.
χωράφιον εἰς τὸ Ὀρθέσιν·
χωράφιον εἰς τὸ Ἀλευρέσιν·
χωράφιον εἰς τῶν Πετασίων·
χωράφιον εἰς Μασερὰ(ν) τὸ Μανπλανέσ(ιν)·
χωράφιον τῶν Κριθηνάντων,
χωράφιον ψωμιαρῶν δέκα τοπικῶν, τὸ κρατεῖ ὁ Κουβδίκης·
χωράφιον (........)

καὶ εἰς τὴν Χαβάν, ἰσομοίραστος μὲ τὸν Τυμούλ(ην)·
καὶ ἡ νομή μου ὅλη, ὅπου κἂν καὶ εὑρεθῇ.
ὁ δὲ Ἀνδρόνικος ὁ Τζαβαλάκης τὰ ἀντίμοιρά μου ἐπώλησεν τὸν Ἀρώνην·
καὶ ἅπερ κατ' ὄνομα εἶπον, πεκούλιά μου εἰσίν.
καὶ οἷος ὀχλείη τὴν μονὴν ἕνεκα τῶν τοιούτων τοπίων, ἐχέτω τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως. τοῦ βοὸς τὸ ἥμισυ καὶ δύο μοχθηρὰ χιαστὰ ἄς εἶναι εἰς τὸ αὐθεντικόν μου. τὸ σαρπὶν ἄς ἔνι
| τῆς συν- τρόφησάς μου, τὸ δὲ ἕτερον σαρπὶν καὶ τὸ ὀσπίτιον ἄς 46 л.
ἔνι τῆς ἀνευσιᾶς μου τῆς Ξαθάνας. καὶ τὸν πνευματικόν μου πατέρα ἀνόχυρον καὶ τοῦ Λαλατζη ἄσπρα γ'· καὶ εἰς τῶν Παροίκων ὅταν ἀφίημι Μελίσσιν εἰς τὸ περιαλώνιν μου τὸν τόπον, τὸ ἔχω εἰς ἄσπρα ὀκτὼ δίδουν τὰ ιε' ἄσπρα, ἄς ἔχουν τὸν τόπον. καὶ ἐὰν ἡ Ἄννα καὶ ἡ Ξαθάνα συζοῦσιν καλόν· εἰ δὲ οὐχί, εἴ τι ἔχουν, ἄς ἔναι τῶν δύο. ἔχω καὶ τοῦ Ζαγάνου τὸ χαλκὶν εἰς ἄσπρα η'. καὶ ὁ κῆπος, τὸ ἔλαχέ με ἀπὸ τὸ Σαπέσιν, ἄς ἔναι τοῦ παπᾶ Εὐσταθίου. καὶ οἷος ἀνατρέπει τὴν διαθήκην μου, ἄς ἔχει τὸ ἀνάθεμα.
παρρησίᾳ τῶν τυχόντων μαρτύρων· ἱερέως Γεωργίου τοῦ Ἀλπούση· καὶ Θεοδώρου ἱερέως τοῦ Σαπούα· Κωνσταντίνου ἱερέως τοῦ Σαπούα.
ὁ δὲ γραφεὺς τοῦ ὕφους Εὐστάθιος ἱερεὺς ὁ Χουρτζιριώτης μαρτυρῶν ὑπέγραψα. +

19 *τοπικὸν* ркп. 20 после *χωράφιον* выцвело несколько букв, повидимому, но возможно, что сам писец оставил пустое место. 32 *γ'*] в ркп. не совсем ясно: кажется возможным и *ι'*. 34 *εἴτι*] *ἤτοι* ркп.

80. Второй полов. XIII века; л. 46 л. — об.

+ *Παρουσίᾳ κυροῦ Γεωργίου τοῦ Πολίτ(ου)· παπᾶ Ἰωάννου τοῦ*
Σαπούα· παπᾶ Γεωργίου τοῦ Ἀλπούση· Ἰωάννου τοῦ Ζε | μίωνος· 46 об.
Κωνσταντίνου τοῦ Μουρμοῦ· ἐγεγόνει μοιρασία καὶ ἔλαχε τὸ μοναστήριον εἰς τὸ Λιμνὴν βεργία ἑπτὰ ἥμισυ· καὶ τὸν Παλατίνον βεργία τέσσαρα· εἰς τοῦ Σάπ(η) βεργία ἑπτὰ ἥμισυ. καὶ ἔνθεν ἀπὸ τὸν Ἅγιον Πέτρον ἕως τὸ Βουνὴν τὸ ὅλον κάτωθεν βεργία ιβ'. ὁμοῦ βεργία κζ'. τὸ δὲ βεργὶν ἔχων σπιθαμὰς ἀνδρῴας ι'. +

7 *κζ'*] в эту сумму входят $7^1/_2 + 7^1/_2 + 12$, а 4 не включено.

81. 6905/1397 г.: л. 46 об. — 47 л.

+ Ἐγὼ Γεώργιος ὁ Ἀνδρέας, καθὼς καὶ ἐσυμβιβάσθην ὁ κύρη
μου μὲ τὴν μονὴν καὶ ἐπῆρεν τὸ λωρὴν εἰς τοῦ Χουλίωνος εἰς τοῦ
μοναστηρίου τὸ ἁλώνιν, τὸ ἔχει μὲ τὸν Πολίτην, τὸ ὅπερ εἶχεν ἡ
μονὴ ἀπὸ τὸν Κουτζουλάν, καὶ ἐντέλλαξεν ὁ Σάβας εἰς τοῦ Ζέρζερι
εἰς τὸ Πηγάδιν ἀπάνω, εἰς τὸ Μέγαν χωράφιον. ὕστερον δὲ ἐπῆρεν
ἡ μονὴ τὰ δύο χωράφια, διότι ἐλαλήθην λόγος, ὅτι ἦσαν τὰ δύο
τῆς μονῆς. ἐσέβησαν δὲ εἰρηνοποιοὶ ἄνθρωποι καὶ ἐσυνεβίβασαν
47 л. τὴν μονὴν μὲ τὸν Ἀνδρέαν, καὶ ἔδωκεν αὐτὸς | ὁ Γεώργιος τὸ λωρὶν
τοῦ Κουτζουλᾶ ψυχικὸν εἰς τὴν μονήν, καθὼς εἶχεν αὐτὸ ἡ μονὴ
καὶ πρότερον, ὑπὲρ μνημοσύνου τῆς ψυχῆς αὐτοῦ καὶ τῶν γονέων
αὐτοῦ.

ἔτους ,ϛϡε΄.

κατὰ μαρτυρίας Ἀλεξίου ἱερέως τοῦ Στρατήγ(η)· καὶ Ἰωάννου
ἱερέως τοῦ Χαλαμάνη· καὶ Θεοδώρου τοῦ Ξένου.

ὁ δὲ γραφεὺς Λάζαρος μοναχός. +

82. Вероятно, 6774/1265 или 6789/1280 г., инд. 9, декабрь; л. 47 л. — об.

Σίγνον	Γεωργίου
τοῦ Τζι	βοῦ·

+ Ἐγὼ Γεώργιος ὁ Τζιβὸς πέπρακα πρὸς σὲ Ῥωμανὸν τὸν
Τζιμπρικᾶν τόπον εἰς τὸ Βασακίον κάτωθεν, τὸ ἐπιλεγόμενον τὰ
Πηγαδίσκια ἄχρι ψωμιαρίων δέκα σιτ(α)ρ(ίου), καὶ ἔλαβον τὸ τίμη-
μαν σχουλαρίκια ἄσπρων ιδ΄. καὶ εὐθὺς τὸ τοπίον ἐδώκα σε εἰς
τοὺς ἑξῆς. ἐξουσίαν ἔχεις ὡς ἴδιόν σου γονικὸν πωλῆσαι, χαρίσαι
καὶ εἰς προῖκαν δοῦναι. καὶ οὐκ ἔχει ἄδειαν κανεὶς ἐκ τοῦ μέρους μου
ποτὲ τῶν καιρῶν ἀνατρέψαι καὶ ἐλθεῖν εἰς ἀναζήτησιν τοῦ τοιούτου
47 об. τόπου. ὁ δὲ τοῦτο βουλόμενος ἐχέτω τὸ ἀνάθεμα, ἀλλὰ νὰ | δώσῃ
καὶ χάριν προστίματος ἄσπρα λ΄. ἡ δὲ παροῦσα ‹μου γραφὴ› ἐχέτω
τὸ στέργον καὶ βέβαιον.

κατὰ μαρτυρίας στρατιώτου Θεριανοῦ τοῦ Βασάκη· καὶ Ἰωάν-
νου τοῦ Διπλοΐτου· καὶ Λέοντος του Καλιοπούλου.

μηνὶ δεκενβρίῳ ἰνδικτιῶνος θ΄.

83. Вероятно, 6769/1261 или 6784/1276 г., инд. 4, апрель; л. 47 об. — 48 л.

Σίγνον	*Παγκάλου*
τοῦ Γου	*βαλᾶ·*

+ *Ἐγὼ Πάγκαλος ὁ Γο<υ>βαλὰς ἐπώλησα ἐσὲν Ῥωμανὸν τὸν Δουβερίτην εἰς τοῦ Ζέρζερι τὸ λα<γ>χάνει με εἰς τὸ Μανδρίσιν καὶ ἄνω, καὶ ἔλαβά ἀπὸ σοῦ τίμημαν ἄσπρα ιβ'. τὸν δὲ τόπον ἐδώκα σε εἰς τοὺς ἑξῆς. ἐξουσίαν ἔχεις χαρίσαι, πωλῆσαι, ἀλλάττειν, ἀνταλλάττειν καὶ εἰς προῖκα δοῦναι. καὶ οὐκ ἔχει ἄδειαν κανεὶς ἐκ τοῦ μέρους μου ποτὲ τῶν καιρῶν ἀνατρέψαι καὶ ἐλθεῖν εἰς ἀναζήτησιν τοῦ τοιούτου γονικοῦ. ὁ δὲ τοῦτο βουλόμενος παρεχέτω ὑπὲρ λόγου προστίματος ἄσπρα κδ'. ἡ δὲ παροῦσά μου γραφὴ καὶ πρᾶσις ἐχέτω τὸ στέργον καὶ βέβαιον.*

παρρησίᾳ τῶν τυχόντων μαρτύρων· Μιχαὴλ τοῦ Σαποπούλου· |καὶ Γεωργίου τοῦ Κανζίκη· καὶ ἑτέρων οὐκ ὀλίγων. 48 л.

μηνὶ ἀπριλίῳ ἰνδικτιῶνος δ'. +

2.3 должно быть *βουβαλάς*.

84. Вероятно, 6772/1263 или 6787/1288 г., инд. 7, октябрь; л. 48 л.

Σίγνον	*Παγκάλου*
τοῦ Βου	*βαλᾶ·*

+ *Ἐγὼ Πάγκαλος ὁ Βουβαλὰς ἐδώκα ἐσὲν Ῥωμανὸν τὸν Δουβερίτην τόπον εἰς τὰ Καταλύσια πλησίον τῆς Θεοτόκου ἤτοι ψωμιαρίων β' εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. τὸ δὲ τίμημαν ἔλαβον ἀπ' ἐσὲν ἄσπρα ε'. καὶ οὐκ ἔχει ἄδειαν κανεὶς ἐκ τοῦ μέρους μου ἐνοχλῆσαι τὸ μέρος σου ἕνεκα τοῦ τοιούτου τόπου. ὁ δὲ τοῦτο βουλόμενος ὀφείλει κληρονομήσειν τὸ ἀνάθεμαν, δώσει δὲ καὶ χάριν προστίματος ἄσπρα ι'. ἡ δὲ γραφὴ ἐχέτω τὸ στέργον καὶ βέβαιον.*

παρρησίᾳ ἱερέως Ἰωαννίκη τοῦ Σαπούα· καὶ Γεωργίου τοῦ Καρφᾶ· καὶ Κωνσταντίνου τοῦ Ματζουκαϊτοπούλου.
μηνὶ ὀκτωμβρίῳ ἰνδικτιῶνος ζ'. +

11 Ἰωαννίκη] должно быть Ἰωαννάκη.

85. Второй полов. XIII века; л. 48 л. — об.

+ Ἐγὼ Κωνσταντῖνος ὁ Ξυστούρης, ὡς καθὼς καὶ ἐχρεώστουν
48 об. σὲ Ῥωμανὸν τὸν Δουβερίτην ἄσπρα ιδ', ἐδώκα σε τὸ | χωράφιον τῆς Γομαλαίας, τὸ ἐναύλη μου εἰς τὸ ὀσπίτιν μου καὶ κάτωθεν· καὶ εἰς τοῦ Ζέρζελη εἰς τοῦ Κουτρουπέλη ἄνωθεν εἰς ἀνόχειρον. καὶ οἷον ἀπὸ τὰ παιδία μου ἢ ἐκ τῶν συγγενῶν μου δίδει σε τὰ ἄσπρα σου, ἂς ἔχῃ τὸν τόπον χωρὶς λόγου τινός.
παρρησίᾳ Μιχαὴλ τοῦ Ταγκᾶ· καὶ Γεωργίου τοῦ Ταγκᾶ.
καὶ ἐγὼ παπᾶ Ἰωάννης μαρτυρῶν ὑπέγραψα. +

86. Вероятно, 6780/1272 или 6795/1287 г., инд. 15, июль; л. 48 об. — 49 л.

Σίγνον	Γεωργίου
τοῦ Κα	πέτζη·

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.
ἐγὼ Γεώργιος ὁ Καπέτζης ἐπώλησα ἐσὲν Ῥωμανὸν τὸν ἐξαδελφόν μου τὸ γονικόν μου, τὸ ὅπερ διαφέρει με εἰς Κουνάκαλιν πατρικὸν καὶ μητρικόν, ὅπου κἂν καὶ ἔχω, ἐσωχώραφα ‹καὶ› ἐξωχώραφα, σὺν τῶν κήπων καὶ τὰ δένδρη καὶ τὰ κτίσματα, τὸ εἴ τι ἐπέλαχέ με. ἔλαβον δὲ ἀπὸ σοῦ τὸ τίμημαν τοῦ γονικοῦ πανὴν δίκλωστον
49 л. ἀσπρῶν (ϛ') καὶ δύο ἀσπρῶν καλίγια, καὶ | τριῶν ἀσπρῶν δακτυλίδιν, καὶ δύο ζυγὰς ὀρτύγια, καὶ κοπτάναν δώδεκα ἀσπρῶν. τὸ δὲ τοιοῦτον γονικὸν πέπρακά σε εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. ἐξουσίαν ἔχεις πωλῆσαι, χαρίσαι καὶ εἰς προῖκαν δοῦναι. καὶ οὐκ ἔχει ἄδειαν κανεὶς ἐκ τοῦ μέρους μου ποτὲ τῶν καιρῶν ἐλθεῖν εἰς ἀναζήτησιν τοῦ τοιούτου γονικοῦ. ὁ δὲ τοῦτο βουλόμενος ἐχέτω τὸ ἀνάθεμαν, ἵνα δώσῃ καὶ χάριν προστίματος ἄσπρα λ'.

παρρησίᾳ τοῦ εὐλαβεστάτου ἱερέως Λέοντος τοῦ Ζιγανίτου· καὶ Θεοδώρου τοῦ Ζωσιμᾶ· καὶ ἑτέρων πολλῶν.

μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ιε'. +

8 εἴ τι] ἤτοι ркп. 11 ὀρτίγια ркп.

87. Вероятно, 6792/1284 г., инд. 12, январь; л. 49 л.—об.

+ *Ἐγὼ Λέων ὁ Δροσὰς πέπρακα πρὸς σὲ Ῥωμανὸν τὸν Δουβερίτην τόπον εἰς τοῦ Ζέρζερι ἐκ τὰ Μουζονιτέσια μοδίου τοπικοῦ ἑνὸς καὶ ἔλαβα τὸ τίμημαν ἀπ' ἐσὲν ἄσπρα ς'. τὸν δὲ τοιοῦτον τόπον δέδωκά σοι εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. ἐξουσίαν το ἔχεις | χαρίσαι, πωλῆσαι καὶ εἰς προῖκαν δοῦναι. καὶ οὐκ ἔχει ἄδειαν* 49 об.
κανεὶς ἐκ τοῦ μέρους μου ποτὲ τῶν καιρῶν ἀνατρέπειν καὶ ἐπιφέρειν ὄχλησιν παρὰ τὸ μέρος σου ἕνεκα τοῦ τοιούτου γονικοῦ. ὁ δὲ τοῦτο βουλόμενος ἐχέτω τῶν ἁγίων πατέρων τὴν ἀράν, ἵνα δώσῃ καὶ ὑπὲρ λόγου προστίματος ἄσπρα ιβ'. καὶ ἡ γραφή μου ἐχέτω τὸ στέργον καὶ βέβαιον.

παρρησίᾳ Γεωργίου του Κάλη· <Λέοντος> τοῦ Κουμάνου· καὶ Θεριανοῦ τοῦ Χαντζόη· καὶ ἑτέρων πολλῶν.

μηνὶ ἰανουαρίῳ ἰνδικτιῶνος ιβ'. +

88. Вероятно, 6781/1273 или 6796/1288 г., инд. 1, август; л. 49 об. — 50 л.

Σίγνον	Λέοντος
τοῦ Σκο	τωμένου·

+ *Ἐγὼ Λέων ὁ Σκοτωμένος πέπρακα πρὸς σὲ Ῥωμανὸν τὸν Μαρινὰν τόπον εἰς τοῦ Ζέρζελη ψωμιαρίων ς' εἰς τοὺς ἑξῆς. ἐξουσίαν ἔχεις αὐτὸ ὡς ἴδιον γονικόν σου πωλῆσαι, χαρίσαι καὶ εἰς προῖκαν δοῦναι. καὶ οὐκ ἔχ(ω) ἐξουσίαν οὔτε ἐγὼ οὔτε ἄλλος τις ἐκ τοῦ μέρους μου | ἢ καὶ ἐκ τῶν διαδόχων μου ἀνατρέψαι τὴν παροῦ-* 50 л.
σαν μου πρᾶσιν. ὁ δὲ τοῦτο βουλόμενος ὀφείλει κληρονομῆσαι τὸ ἀνάθεμαν, καὶ νὰ δώσῃ καὶ ὑπὲρ λόγου προστίματος ἄσπρα ιβ'. ἔλαβα τὸ τίμημαν ἀπ' ἐσὲν ἄσπρα ς'.

παρρησίᾳ τῶν τυχόντων μαρτύρων· Κωνσταντίνου τοῦ Ξυστούρη· καὶ Μιχαὴλ τοῦ Κασυνπούρη· καὶ ἑτέρων πολλῶν.
μηνὶ αὐγούστῳ ἰνδικτιῶνος α'. +

89. Второй полов. XIII века; л. 50 л. — об.

Σίγνον	Ἰωάννου
τοῦ Κου	τρουπέλη·

+ Ἐγὼ παπᾶ Ἰωάννης ὁ Κουτρο‹υ›πέλης, ὁ ἄνωθεν οἰκειοχείρως σιγνογραφήσας, ἐπώλησα σὲ Ῥωμανὸν τὸν Δουβερίτην εἰς τὰ Καταλύσια χοινικὸς ἑνὸς σιταροσπορὰν εἰς ἄσπρα η'. καὶ ἐξουσίαν το ἔχεις πωλῆσαι, χαρίσαι καὶ εἰς προῖκαν δοῦναι. καὶ οὐκ ἔχ(ω) ἐξου-
50 об. σίαν οὔτε ἐγὼ οὔτε ἄλλος τις ἐκ τοῦ μέρους μου κατεγυ|ρεύειν τὸν αὐτὸν τόπον· ὁ δὲ βουλομενος τοῦτο, ὀφείλ(ω) ἀποπαῦσαι αὐτὸν ἐγὼ καὶ τὸ μέρος μου, ἵνα δώσῃ καὶ χάριν προστίματος ἄσπρα ις'. καὶ πάλιν ἡ γραφή μου ἐχέτω τὸ στέργον καὶ βέβαιον.
παρρησίᾳ τῶν τυχόντων μαρτύρων· Λέοντος τοῦ Καλιοπούλου· καὶ Κωνσταντίνου τοῦ Πολιτομιχαλοπούλου.
καὶ ἐγὼ Κοσμᾶς μαρτυρῶν ὑπέγραψα. +

90. Второй полов. XIII века; л. 50 об. — 51 л.

Σίγνον	Μαρίας
τῆς Κουτρου	πελόπουλος

+ Ἐγὼ Μαρία ἡ Κουτρουπελόπουλ(ος) ἐπώλησα ἐσὲν Ῥωμανὸν τὸν Δουβερίτην τόπον εἰς τὸ Ζέρζελη (.....) εἰς ἄσπρα ι'. ἐξουσίαν το ἔχεις πωλῆσαι, χαρίσαι καὶ εἰς προῖκαν δοῦναι. καὶ οὐκ ἔχει ἐξουσίαν ποτὲ τῶν καιρῶν εἴτε ἐγὼ εἴτε ἄλλος τις ἐκ τοῦ μέρους μου, νὰ ἔλθῃ εἰς ἀναζήτησιν τοῦ τοιούτου τόπου. οἷος δὲ εὑρεθῇ καὶ
51 л. ὀχλήσαι ἕνεκεν τοῦ τοιούτου τόπου, ὀφείλω ἀποπαῦ|σαι αὐτὸν ἐγώ, ἵνα δώσῃ καὶ χάριν προστίματος ἄσπρα κ'. ἡ δὲ γραφή μου ἐχέτω τὸ στέργον καὶ βέβαιον.

παρρησίᾳ τῶν τυχόντων μαρτύρων, Λέοντος τοῦ Καλιοπούλου· καὶ Γεωργίου τοῦ Παύλου.

Κοσμᾶς ἱερομόναχος μαρτυρῶν ὑπέγραψ(α). +

4 пропуск сделан писцом для 5—6 букв.

91. Второй полов. XIII века; л. 51 л. — об.

Σίγνον	Λέοντος
τοῦ Κου	τρουπέλη·

+. *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.*

ἐγὼ Λέων ὁ Κουτρουπέλης ἐπώλησα σὲ τὸν γαμβρόν μου τὸν κυρ(ὸν) Ῥωμανὸν τὸ χωράφιόν μου εἰς τὰ Λοφόνια οὐκ ἔκ τινος χλεύης ἢ βίας ἢ ἀπάτης, ἀλλὰ ἰδίᾳ μου θελήσει καὶ προαιρέσει. ἐξουσίαν το ἔχεις ἀπὸ τὴν σήμερον ὡς ἴδιόν σου γονικὸν πωλῆσαι, χαρίσαι καὶ εἰς προῖκαν δοῦναι. ἔλαβον δὲ ἐκ τῶν χειρῶν σου τὸ τίμημαν τοῦ τόπου ἄσπρα κγʹ. καὶ οὐκ ἔχω ἐξουσίαν ἀπὸ τὴν σήμερον οὔτε ἐγὼ οὔτε | ἐκ τῶν παίδων μου οὔτε ἄλλος κανεὶς ἐκ τοῦ 51 об. *μέρους μου ἐλθεῖν εἰς ἀνατροπὴν τοῦ τοιούτου γονικοῦ. ὁ δὲ τοῦτο βουλόμενος παρεχέτω ὑπὲρ λόγου προστίματος ἐν τῷ βασιλικῷ βεστιαρίῳ ὑπέρπυρα δʹ. καὶ πάλιν ἡ παροῦσα μου γραφὴ ἐχέτω τὸ στέργον καὶ βέβαιον.*

παρρησίᾳ τῶν τυχόντων μαρτύρων· Γεωργίου ἱερέως τοῦ Σανιάνου· καὶ Σισίνη τοῦ Μαϊστόρου· καὶ Θεριανοῦ τοῦ Κανζίκη· καὶ ἑτέρων πολλῶν.

μηνὶ φεβρουαρίῳ ἰνδικτιῶνος βʹ.

+ *ὁ δὲ γραφεὺς τοῦ ὕφους Μιχαὴλ ἱερεὺς ὁ Διπλοΐτης.* +

92. 6781/1273 г., инд. 1, март; л. 51 об.—52 л.; изд. Пан.

Σίγνον	Μιχαὴλ
τοῦ Καρβιο	πούλου·

+ *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.*

ἐγὼ Μιχαὴλ ὁ Καρβιόπουλος πέπρακα πρὸς σὲ Ῥωμανὸν τὸν Μαρινὰν τὸ χωράφιον τὴν Ἐλαίαν εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρό-

52 л. νους. ἐξουσίαν το ἔ|χεις ὡς ἴδιόν σου κτῆμα πωλῆσαι, χαρίσαι καὶ εἰς προῖκαν δοῦναι. καὶ οὐκ ἔχει ἄδειαν τῶν καιρῶν ποτὲ κανεὶς ἀνατρέψαι ἢ εἰς μεταμέλειαν ἐλθεῖν τοῦ τοιούτου τόπου καὶ τοῦ παρόντος μου πρατηρίου, ἀλλ᾽ οὔτε ἄλλος κανεὶς ἐκ τοῦ μέρους μου. ὁ δὲ βουλόμενος ἀνατρέψαι ἢ διασεῖσαι τὴν παροῦσαν μου γραφικὴν πρᾶσιν, ἐγὼ ὀφείλω ἀποπαῦσαι τοῦτον, ἵνα δώσῃ καὶ χάριν προστίματος ἄσπρα λ'. καὶ ἡ γραφή μου πάλιν ἐχέτω τὸ στέργον καὶ βέβαιον. ἀπὸ σοῦ δὲ ἔλαβον τὸ τίμημαν ἄσπρα ιδ'. καὶ ἐν τούτῳ ἐγεγόνει ἡ παροῦσα μου ἀσφαλιστικὴ γραφὴ εἰς ἐμφάνειαν αἰωνίζουσαν.

μηνὶ μαρτίῳ ἰνδικτιῶνος α' ἐν τῷ ,ςψπα' ἔτει.

παρρησίᾳ τῶν τυχόντων μαρτύρων· Λέοντος τοῦ Κουτρουπέλη· καὶ Θεριανοῦ τοῦ Χαντζόη· καὶ ἑτέρων πολλῶν.

+ ὁ γραφεὺς τοῦ ὕφους Κοσμᾶς ἱερομόναχος ὁ Λαλάτζης μαρτυρῶν ὑπέγραψ(α). +

93. Около 6781/1273 г.; л. 52 об. — 53 л.; изд. Пан.

52 об.

|Σίγνον	Μιχαὴλ
τοῦ Καρβι	οπούλου·

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ Μιχαὴλ ὁ Καρβιόπουλος ἐπώλησα σὲ Ῥωμανὸν τὸν Δουβερίτην τὸ χωράφιον, ὃ ἔχω εἰς τοῦ κυροῦ Ἠλία πλησίον τοῦ Ἀνδρονίκου, ὅ ἐστιν ψωμιαρῶν ε'. καὶ ἔλαβον τὸ τίμημαν ἀπὸ σοῦ ἄσπρα η'. τὸν δὲ τόπον δέδωκά σε εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. ἐξουσίαν αὐτὸ ἔχεις ἀπὸ τὴν σήμερον πωλῆσαι, χαρίσαι καὶ εἰς προῖκαν δοῦναι. καὶ οὐκ ἔχ(ω) ἄδειαν ποτὲ τῶν καιρῶν οὔτε ἐγὼ οὔτε ἐκ τῶν παίδων καὶ διαδόχων μου ἢ ἐκ τοῦ μέρους μου τις ἀνατρέψαι ἢ διασεῖσαι τὴν παροῦσαν μου γραφὴν τῆς πράξεως χάριν τοῦ αὐτοῦ χωραφίου. ὁ δὲ βουλόμενος ἀνατρέψαι καὶ διασεῖσαι τὴν παροῦσαν μου πρᾶσιν ἐχέτω τὸ ἀνάθεμαν, καὶ νὰ δώσῃ χάριν προστίματος ἄσπρα κδ'. καὶ πάλιν ἡ παροῦσα μου γραφὴ ἐχέτω τὸ
53 л. στέργον καὶ βέ|βαιον.

παρρησίᾳ τῶν τυχόντων μαρτύρων· Ἰωάννου ἱερέως τοῦ Κου-

τρο‹υ›π(έ)λ(η)· καὶ Ῥωμανοῦ ἱερέως τοῦ Πολίτου· καὶ Ἀνδρονίκου τοῦ Παπαλεοντοπούλου· καὶ ἑτέρων πολλῶν.

μηνὶ δεκεμβρίῳ κς'. +

7 η'] в ркп., однако, можно заметить переправку, кажется, μ в Η, которое не следует ли читать ν'?

94. Второй полов. XIII века; л. 53 л.

+ *Ἐν κυρίῳ θεῷ.*

ἐποίησα διαθήκην· καὶ ἔδωκα εἰς τὸν τίμιον Πρόδρομον χωράφια ια' περὶ τῆς ἁμαρτωλῆς μου ψυχῆς, ἵνα εὕρω ἀνάπαυσιν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

95. Конца XIII века, л. 53 л. — об.

Σίγνον	*Θεοδώρα ἡ*
Θεοφι	*λάβα·*

+ *Ἐγὼ Θεοδώρα ἡ Θεοφιλάβα ἐδώκα εἰς τὸν τίμιον Πρόδρομον ἕνεκα ψυχικῆς σωτηρίας τοῦ ἀνδρός μου καὶ τὸ ἐμὸν καὶ τῶν παιδίων μου τὸ λωρὶν τὸ Γαλατέσιν, τὸ κείτεται ἄνωθεν τῆς στράτας. καὶ οἶος ἀπὸ τὸ γένος μου ἢ ἄλλος τις ἕτερος ξένος σηκώνει το ἀπὸ τὸν Πρόδρομον ποτὲ τῶν καιρῶν, νὰ ἔχῃ τὸν τίμιον Πρόδρομον διάδικον ἐν ἡμέρᾳ τῆς κρίσεως, καὶ νὰ ἔχῃ καὶ τὸ ἀνάθεμαν.*
καὶ ἡ γραφή | μου ἡ ἀσφαλιστικὴ νὰ ἔχῃ τὸ στέργον καὶ βέβαιον. + 53 об.

96. Первой полов. XIV века; л. 53 об.

Σίγνον	*Γεωργίου*
τοῦ Γαυ	*ρᾶ·*

+ *Ἐγὼ Γεώργιος ὁ Γαυρᾶς ἐπώλησα ἐσὰς τοὺς καλογήρους τοὺς Βαζελιώτας εἰς Κανάκαλιν εἰς τὰ Τζιμίλια τοῦ Καρίδη τὸ χωράφιν εἰς τοὺς ἑξῆς καὶ ἅπαντα‹ς› καὶ διηνεκεῖς χρόνους. ἀπέλαβον καὶ ἐγὼ ἀπ' ἐσὰς τὴν τιμὴν τοῦ χωραφίου ἄσπρα κδ'. καὶ οὐκ ἔχει*

ἄδειαν κανεὶς ποτὲ τῶν καιρῶν, ἤτε αὐτὸς ἐγὼ ἢ ἐκ τοῦ μέρους μου, καταγυρεῦσαι τὸ τοιοῦτον γονικόν. οἷος δὲ βουληθῇ τοῦτο καὶ εἰς ἀνατροπὴν καὶ ὄχλησιν τοῦ τοιούτου χωραφίου ἔρχεται, ἵνα δώσῃ χάριν προστίματος ἄσπρα ν'. καὶ πάλιν ἡ γραφή μου τὸ στέργον ἕξει καὶ βέβαιον.

παρρησίᾳ τῶν τυχόντων μαρτύρων· Θεριανοῦ τοῦ Καφούλη· καὶ Λέοντος τοῦ Δροσᾶ. καὶ Θεοδώρου τοῦ Ζεπύρου.

μηνὶ νοεμβρίῳ εἰς τὰ ιε'.

97. Около 6810/1302 г.; л. 54 л.

54 л.

|(Σίγνον	Θεοδώρα)
ἡ Θεοφι	λάβα·

+ Ἐγὼ Θεοδώρα ἡ Θεοφιλάβα ἔδωκα εἰς τὸν τίμιον Πρόδρομον τοῦ Ζαβουλῶν τὸ Κυρμανέσιν τὸ χωράφιν πρὸς ἀνόχυρον. καὶ ἐπῆρα ἄσπρα ρ'· καὶ ἐδώκα εἰς τοῦ παιδίου μου τὴν ἀγοράν. καὶ ὅταν φθασθῶ καὶ δώσω τὰ ἑκατὸν ἄσπρα, ἵνα ἐπάρω τὸ χωράφιν μου.

κατὰ μαρτυρίας τῶν τυχόντων· παπᾶ Φωκᾶ τοῦ Παχιμαμᾶ, καὶ τοῦ παπᾶ Ἄ‹ν›θη· καὶ Κωνσταντίνου τοῦ Πητξαρᾶ· καὶ Θεοδώρου τοῦ Χάλδ(ου)· καὶ ἑτέρων πολλῶν. +

98. Первой полов. XIV века; л. 54 л. — об.

+ Ἐν ὑστέρῳ δὲ ἔφθασα ἐγὼ Θεοδώρα ἡ Θεοφιλάβα, καὶ ἐποίησα τὸν τοιοῦτον τόπον τὸ ἄνωθεν γεγραμμένον εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους πρὸς τὴν μονὴν τοῦ τιμίου Προδρόμου τοῦ Ζαβουλῶν. καὶ οὐκ ἔχει ἄδειαν κανεὶς ἀπὸ τὸ μέρος μου νὰ ἔλθῃ εἰς ἀναζήτησιν καὶ ὄχλησιν ἐπάξαι τῇ μονῇ τῆς τοῦ Βαζελοῦ ἕνεκα τοῦ αὐτοῦ τόπου τὸ Γερμανέσιν ἐπιλεγόμενον. οἷος δὲ τοῦτο βουληθείη ἀπὸ
54 об. τὸ | μέρος μου ἢ ἄλλος ἕτερος τῇ μονῇ ὄχλησιν ἐπάξαι ἕνεκα τοῦ τοιούτου τόπου, ὀφείλει ζημιωθῆναι ἄσπρα σ'. καὶ πάλιν ἡ ἀσφαλιστική μου γραφὴ τὸ στέργον ἕξει καὶ βέβαιον.

κατὰ μαρτυρίας τῶν ἄνωθεν γεγραμμένων. +

5 τῆς] сравн. **99** 7, **100** 9. 6 Γερμανέσιν] то же, что Κυρμανέσιν **97** 4.

99. 6853/1344 г., инд. 13, ноябрь; л. 54 об. — 55 л.

Σίγνον	Γεωργίου	Σίγνον	Ἰωάννου
τοῦ Γαυ	ρᾶ·	τοῦ Μελι	μάνη·

+ Ἡμεῖς οἱ ἄνωθεν σιγνογραφήσαντες, ὅ τε Γεώργιος ὁ Γαυρᾶς καὶ Ἰωάννης ὁ Μελιμάνης, πεπράκαμεν τὸν τόπον, τὸ εἴχαμεν εἰς Κουνάκαλιν τὸ Ἀχαντιώνιν, τὸ ὅπερ κεῖται τοῦ Ἁγίου Ἰωάννου πλησίον, σὺν τὸ ἀλώνιν καὶ τὴν ἕδραν ἕως κάτω πρὸς τὴν μονὴν τοῦ Προδρόμου τῆς τοῦ Βαζελοῦ. καὶ ἀπελάβαμεν τὴν δικαίαν τιμὴν ἀθολόγην τὸ ἠγοράσθην εἰς ἄσπρα ρλʹ. καὶ οἷος ἀπὸ τοῦ νῦν κατεγυρεύει τὸν τοιοῦτόν τόπον, καὶ ἐνοχλεῖ τὴν μονήν, ὀφείλει ζημιωθῆναι ἄσπρα φʹ.

κατὰ μαρτυρίας Θεοχάρη τοῦ Ζούζηλα· Γεωργίου τοῦ Χαμούρη· | καὶ Γεωργίου τοῦ Βαλεντζιάκου τοῦ ἐκ Γαλίανας. 55 л.

ἰνδικτιῶνος ιγʹ μηνὶ νοεμβρίῳ ἔτους ,ςωνγʹ.

100. (6853/1344 г.), инд. 13, декабрь; л. 55 л. — 56 об.; перев. Усп., Анн., 103.

Σίγνον Ἀνυσίας	μοναχῆς
τῆς Παπαγε	νακόπουλος·

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

κἀγὼ Ἀνυσία μοναχὴ ἡ Παπαγενακόπουλος, ἑκουσίᾳ μου γνώμῃ βουλήσει καὶ προαιρέσει, καὶ οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ χλεύης ἢ ἀπάτης, ἀλλὰ τῇ ἰδίᾳ μου θελήσει, ἐδώκα εἰς τὴν σεβασμίαν μονὴν τοῦ τιμίου Προδρόμου τῆς τοῦ Ζαβουλῶν τὰ χωραφοτόπιά μου, ὅσα με διαφέρουν ἐν τῇ στάσει τοῦ Χουλίωνος καὶ εἰς τὴν Χορτοκόπην καὶ ἀλλαχοῦ, ὅπου κἂν καὶ εὑρεθῶσι. ὁμοίως καὶ τὰς ἀγορασίας μου σὺν τὰ πατρικά μου.

εἰς τὴν Ἁγίαν Βαρβάραν κάτωθεν | τὸ ἀλώνην μου· καὶ πλησίον 55 об.
τοῦ ἀλωνίου τὸ χωράφιν γονικέσιν μου.

καὶ ἕτερον χωράφιον ἀγορασία(ν) ἀπὸ τὸν Κούμιλαν· ἀναβαίνει ἕως ἄνωθεν τὴν στράταν πλησίον ο[......το ἔχει ἡ μονὴ τὸ ἔχει ὁ Β]ούγ[δας τῆς ἁγίας Βαρβάρας] ἔχη τὸ [χωράφιν ἂς ἀ]πεκβάλη τὰ ἄσπρα, ἂς ἔχη τὸ γονικόν. εἰ δ᾽ οὐχί, νὰ ἔχη ἡ μονὴ τὸ χωράφιν.

ἔχω καὶ εἰς τοῦ Κράνη τὸν πόρον, χωράφιον τὸ Κουτζονέσιν ἀγορασίαν μου.

ἕτερον χωράφιον εἰς τὸ Πρώϊμον ἀγορασίαν μου ἀπὸ τὸν Κοῦρτον· ἀπὸ τὸν Πρώϊμον ἕως κάτωθεν πλησίον τοῦ ποταμοῦ· εἰς τὸ Μιτικαριώνην εἰς τὰ τρία τὸ ἕν.

πέραν ἐν τῇ αὐτῇ στάσει τοῦ Χουλίωνος τοῦ πατρός μου τὸ ἀλών(ιν) [μὲ τὸ] χωράφιν.

[ἕτερον πάλιν χωράφιν πλησίον τοῦ ᾿Οφρυδίου.

καὶ εἰς Βλαστινόην πάλιν χωράφιν ἀπέθεν ἕως ἐκεῖθεν.

56 л. ὁμοίως καὶ εἰς τὸ Κοκίμηλον ἄνωθεν] | χωράφιν,

καὶ εἰς τὸν Κράνην ἄνωθεν χωράφιν,

καὶ εἰς τοῦ Μαλαχίτ(η) εἰς τὴν Ὑπεραγίαν Θεοτόκον κάθε χωράφιν,

εἰς τὸ Καμπίσκην, εἰς τὴν βασιλικὴν ὁδὸν τὸ Μέγα χωράφιν.

καὶ ἂς ἔχει καὶ Γεώργιος ὁ Χαμούρης τὴν ἕδραν σὺν τὸν κῆπον τὸν κάτωθεν, καὶ ἂς κτίζει καὶ κάθεται ἕως οὗ ζῶ. μετὰ δὲ τὴν μετάστασίν μου, ὡς καὶ συμβιβάζεται μὲ τὸ μοναστήριον. καὶ ἂν τύχῃ καὶ ἔρχονται τὰ αἰχμάλωτά μου, ἂς ἔχουν τὸ μερτικόν τους. ἡ δὲ ἐδική μου μοῖρα ὅση με διαφέρει ἐξ ὁλοκλήρου, ἀφίημι αὐτὰ εἰς τὴν σεβασμίαν μονὴν τῶν Ζαβουλῶν. εἰ δὲ καὶ οὐκ ἔρχονται τὰ αἰχμάλωτά μου, ἂς εἶναι ὅλα τῆς μονῆς πρὸς μνημόσυνον τῶν γονέων καὶ προγονέων μου. καὶ οἷος ἀνατρέπει τὸ παρὸν ἀσφαλιστικόν μου γράμμα, εἴτε ἴδιος ἢ καὶ ξένος, νὰ ἔχει τὰς ἀρὰς τῶν τιη' θεοφόρων
56 об. πατέρων. καὶ ἡ γραφή μου πάλιν ἕξει τὸ | στέργον καὶ βέβαιον εἰς ἀσφάλειαν αἰωνίζουσαν.

μηνὶ δεκεμβρίῳ ἰνδικτιῶνος ιγ'.

Τὰ δὲ ἐν τῇ Χορτοκόπῃ χωραφοτόπιά μου εἰσὶν ταῦτα·

χωράφιον εἰς τὸ Μεσαλώνιν τὸ λεγόμενον τὸ Παχύ.

κάτωθεν τὸ ἐναύλην.

καὶ ἄνωθεν χωράφιον ἕτερον.

καὶ χωράφιον εἰς τὸ Τζορτζὴν εἰς τὸ ᾿Οφρύδην ὑποκάτω κέσου,

καὶ ἀπάνω κέσου ἕτερον χωράφιον.

καὶ ἀλλαχοῦ, ὅπου καὶ μαρτυρηθῇ ἐκ τῆς νομῆς μου τόπος, τὸ ὅπερ οὐκ ἔγραψα ἐνωνύμως εἰς τὸ κοματολόγιον, ἵνα ἔναι τῆς μονῆς.

Κάλλιστος ἱερομόναχος μαρτυρῶν ὑπέγραψα.

6 *ἀννυσία* ркп. 16—17, 25—27 поставленное в прямые скобки наведено позднейшей рукой по первоначальному тексту. 28—53 написаны на л. 56, который вставлен реставратором.

101. Второй полов. XIII века; л. 56 об. — 57 л.

Σίγνον	*Θεριανοῦ*
τοῦ Γι	*αλέα·*

+ *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.*
⟨*ἐγὼ*⟩ Θεριανὸς ὁ Ὁμοχωρίτης, ὁ *ἄνωθεν οἰκειοχείρως τὸν*
σταυρὸν ἐγχαράξας, τίθημι καὶ ποιῶ ἑκουσίως καὶ ἀμεταμελήτως
πρὸς ὑμᾶς τοὺς μοναχοὺς τοῦ τιμίου Προδρόμου τοῦ ἐν τῷ Βαζελῷ
πρατήριον ἔγγρα|φον περὶ τοῦ χωραφίου μου τοῦ ἐπονομαζομένου 57 л.
Κράνιον τῷ ἐν τῇ στάσει τοῦ Χουλίωνος ὄντι μοδίου α'. καὶ ἔλαβον
παρ' ὑμῶν τὸ τίμημαν ἄσπρα κυρμανουηλάτικα ιβ'. καὶ ἐξουσίαν
ἔχετε εἰς τοὺς ἑξῆς. καὶ οὐκ ἔχει ἄδειαν κανεὶς ἐκ τοῦ μέρους μου
ἀνατρέψαι τὸ παρόν μου πρατήριον. ὁ δὲ τοῦτο βουλόμενος παρεχέτω ἐν τῷ βασιλικῷ βεστιαρίῳ ἀερικὸν ἄσπρα ρ'.

κατὰ μαρτυρίας Θεοδώρου τοῦ Σαπούα· Θεοδώρου ἱερέως ⟨прозвище⟩· *Γεωργίου τοῦ Ζούζηλα· καὶ ἑτέρων πολλῶν.*

10 *ὑμῶν*] *ἡμῶν* ркп. 1—15 на лл. 56 — 57, вставленных реставратором.

102. Конца XIII века; л. 57 л. — об. (п. и.); перев. Усп., Анн., 111.

Σίγ	*νον*
Μιχα	*ήλ τοῦ Τζερεκέρη·*

⟨+ *Ἐ*⟩*γὼ Μιχαὴλ ὁ Τζερεκέρης, ὁ καὶ υἱὸς Ἰωάννου τοῦ Τζερεκέρη ἤτοι τοῦ Ζουκαρηνοῦ, καθὼς καὶ ἦλθον εἰς τὸ γονικόν μου, ἵνα το διαυθεντῶ, ἐνεφάνισάν μοι οἱ μοναχοὶ τῆς μονῆς τοῦ τιμίου Προδρόμου τὴν διαθήκην τοῦ πατρός μου, ὅτι ἀφῆκεν το ὁ πατήρ μου εἰς τὴν μονὴν ἕνεκα ψυχικῆς αὐτοῦ σωτηρίας ἀπὸ ὅρου καὶ*

57 об. ποταμοῦ, κήπου καὶ δένδρων,| ὅσον καὶ ἐπιλα<γ>χάνει μας ἐν τῇ αὐτῇ στάσει τοῦ Τζερεκέρη. καὶ ἰδὼν ἐγὼ τὴν διαθήκην τοῦ πατρός μου μεμαρτυρημένην καὶ βέβαιον, ἐποίησα καὶ ἐγὼ τὴν παροῦσαν μου ἀσφάλειαν πρὸς τὴν μονήν, ὅτι οὐκ ἔχω ἄδειαν ἀπὸ τὴν σήμερον ἐνοχλεῖν τὴν μονήν, ἀλλ' οὔτε τις ἐκ τοῦ μέρους μου. ὁ δὲ τοῦτο βουλόμενος κληρονομείτω τὸ ἀνάθεμαν. καὶ ἡ γραφή μου πάλιν ἐχέτω τὸ στέργον καὶ βέβαιον. ἔλαβον δὲ καὶ εὐλογίαν ἀπὸ τὴν μονὴν κριθ(α)ρ(ίου) μόδιον α' καὶ ἄσπρα κ'.

ἐπὶ παρρησίᾳ τῶν τυχόντων μαρτύρων Γεωργίου τοῦ Γαυρᾶ· <имя> τοῦ Σάχα· <имя> τοῦ Γουσμάνου· καὶ τῶν ὅλλων Θερισίτων.

+ ὁ δοῦλος τοῦ ἁγίου ἡμῶν αὐθεντὸς καὶ βασιλέως τοῦ Μεγάλου Κομνηνοῦ ὁ Μιχαὴλ ὁ Μουλτάτος.

16—19 текст есть в начале л. 17 л., откуда и приводятся далее отличия. 16 ἐπὶ проп. 17 ὅλων. 18 ἁγίου ἡμῶν αὐθεντὸς καὶ βασιλέως τοῦ проп. 19 ὁ (перед Μιχαὴλ) проп. 1—19 написаны на л. 57, вставленном реставратором.

103. 6894/1386 г., инд. 4 (должен быть: 9), июль; л. 57 об.—59 об.; (п. и.); изд. П.-К., 77—78 № 1.

Ἐκ τοῦ ἱεροῦ καὶ θείου χρυσοβούλου.|

58 л. + + +

Ἐλέῳ θεοῦ ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ πάσης ἀνατολῆς Ἀλέξιος ὁ Μέγας Κομνηνός, Γερμανικός, Ἀλαμανικός, Γοτθικός, Ἀνδαλικός, ἔνδοξος, νικητής, τροπαιοῦχος, πιστός, ἀεισέβαστος.

Τοῦ κυρίου διὰ τοῦ εὐαγγελίου λέγοντος «μακάριοι οἱ ἐλεήμονες»· καὶ ἄλλως ὅτι «ἐν φυλακῇ ἤμην καὶ ἤλθετε πρός με» ἤγουν τοῖς ἐν ὄρεσι καὶ σπηλαίοις οἰκοῦσιν μοναχοῖς. μαθὼν δὲ ἡ βασιλεία μου, ὅτι ἐν τῷ ἄντρῳ ἐν τῷ ὄρει τῶν Ζαβουλῶν οἰκοῦσι μοναχοί, ἔρως μοι ἦλθε τοῦ ἀπελθεῖν εἰς προσκύνησίν τοῦ τοιούτου τόπου.
58 об. καὶ | δὴ ἀπελθόντος μου εὗρον τὸν τόπον παντελῶς ἔρημον καὶ θαυμάσας τὴν τῶν μοναχῶν κατοίκησιν τῷ θεῷ δόξαν ἀνέπεμψα τῷ διατρέφοντι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ τὸ ἅγιον. ἔδοξε τῇ βασιλείᾳ μου μικρὰν παρηγορίαν τοῖς τοιούτοις μοναχοῖς παραμυθήσασθαι. δι' ὃ καὶ παραδίδει ἡ βασιλεία μου διὰ τοῦ

*παρόντος χρυσοβούλου λόγου, εἰς μνημόσυνον ἐμοῦ τε καὶ τῆς
μητρός μου γῆν ὕπεργον καὶ χώραις ἐπιτελεῖν κατ᾽ ἔτος τὰ δημόσια
καὶ τὰς ἐπικαρπίας πρὸς τὴν αὐτὴν μονήν· χωρία Ζούζαν καὶ Χορτο-
κόπην, Χαβάν τε καὶ Σπήλαια, Δανειάχαν καὶ Παπάρουζαν, Χαμου-
ρήν, Μανδρακενὴν καὶ Χαψίν, ἵνα τὰ ἔχῃ καὶ νέμεται ἡ μονὴ | εἰς* 59 л.
*τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους, μέχρις ἂν τόδε τὸ πᾶν ὁ ἥλιος
ἐφορᾷ καὶ ὁ σύμπας διελεύσεται κόσμος· καὶ οὐδεὶς τῶν ἁπάντων
ἐσεῖται εἰς ἀθέτησιν ἢ ἀνατροπὴν χωρήσων τινὸς τῶν ἐν τούτῳ ἐξ
ὀνόματος δηλουμένων τε καὶ περιεχομένων, ἐπείπερ εἰς τὴν τούτων
ἁπάντων βεβαίωσιν καὶ ἀσφάλειαν καὶ ὁ παρὼν χρυσόβουλος
λόγος τῆς βασιλείας μου ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη τοῖς τοιού-
τοις πατράσι καὶ τοῖς καθεξῆς γενησομένοις, ἀπολυθεὶς κατὰ μῆνα
ἰούλιον ἰνδικτιῶνος δ′ [ἔτει ἀπὸ κοσμογονίας ,ϛωϟδ′].*

ἦσαν δὲ συμπαρόντες καὶ οἱ δούκιδες καὶ κριταὶ τῆς θεοσώστου καὶ θεοσυντηρήτου πόλεως Τραπεζοῦντος.

ὁ μέγας κοντόσταυλος καὶ κεφαλὴ τοῦ ὅλου βάνδους Ματζουκάων Κωνσταντῖνος ὁ Τζανιχίτης.

καὶ ὁ τατᾶς τῆς βασιλικῆς αὐλῆς Θεόδωρος ὁ Εὐνοῦχος.

| ὁ δοὺξ καὶ κεφαλὴ τοῦ ὅλου βάνδ(ους) Τραπεζοῦντος καὶ ἐπικέρ- 59 об.
νιος Γεώργιος ὁ Σιμάτ(ης).

ὁ μέγας σκευοφύλαξ Κωνσταντῖνος ὁ Λαζαρόπουλος.

ὁ γραφεὺς τῶν βασιλικῶν προσταγμάτων Σεβαστὸς ὁ Πηλινάς.

Ἀνδρόνικος ὁ Πολεμάρχης

καὶ Θεόδωρος ὁ Πολεμάρχης.

ὁ μέγας πριμικήριος Θεόδωρος ὁ Ψελὸς

καὶ Ἰωάννης ὁ Πηξαρίτης.

Κωνσταντῖνος ὁ Κυριμέρης.

ὁ δοῦλος τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως [τοῦ Μεγάλου Κομνηνοῦ] Νικήτας ὁ Παμφλάγων.

ὁ δοῦλος τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Μεγάλου Κομνηνοῦ Μιχαὴλ ὁ Μαρούλ(ης).

Ἀπ᾽ ἐδῶ καὶ ἐμπρὸς περιγράφομεν τοὺς τόπους κατ᾽ ὄνομα καὶ περιορισμόν.

1—49 на лл. 57—59, вставленных реставратором. 1—6 писаны киноварью, причем 3—6 вязью из заглавных букв. 7 *εὐαγγελίου*] сравн. Мф. V 7. XXV 36. 8—9 *ἤγουν τοῖς . . . μοναχοῖς*] ясно, что или перед этим что-то пропущено, или же

это примечание попало сюда из другого места, напр., после (в строке 14) *ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ τὸ ἅγιον;* но все таки и пропуск в указанном месте сомнению не подлежит. 6 *ἐν* проп. П.-К. 8 *τῶν*] *τοῦ* П.-К. 9—10 *ἡ βασιλεία μου* написаны киноварью. 10 *τῷ* проп. П.-К. *τῶϊ* ркп. 14 *τοὺς ἐπικαλουμένους* П.-К. 15 *βασιλεία μου* 16 *ἡ βασιλεία μου* 17 *βούλου λόγου* написаны киноварью. 18 *χώραις*] П.-К. исправл. в *χώρας* 20 *Δανείαχαν* П.-К. 21 *νέμηται* П.-К. 24 *ἐσεῖται*] *ἔσεται* П. К. *χωρήσων τινὸς* П.-К. не прочел и заменил точками. *τῶν*] *τὸ* П.-К. 25 *τε*] *τι* П.-К. 27 *λόγος* написано киноварью. 34 *καὶ* проп. П.-К. 35 *βάνδου* П.-К. 35—36 *ἐπικέρνικος* П.-К. 36 *Σιμάτης* как здесь так и 133 написано вязью, при чем переписчик копировал свой оригинал и еще вопрос, насколько удачно. 39—49 все приводимые здесь имена не могут принадлежать к составу хрисовула (см. указ. имен). Для оценки текста и степени подлинности хрисовула очень важен виденный Кириак. Сум., 116 прим. 1 в Аргирополе сборник копий с хрисовулов, между прочим имп. Алексея и Феодоры 1375 г. и одного Алексея в пользу Вазел. м-ря. 42 *Πυξαρίτης* П.-К. 47 *Μαρουλᾶς* П.-К.

104. Конца XIII века; л. 59 об. — 62 об.

60 л. |*Αἱ βασιλικαὶ δωρεαὶ κατὰ τὴν παλαιὰν περίληψιν δηλούμεναι κατ' ὄνομα.*

+ Τὰ τῆς δωρεᾶς τοῦ βασιλέως καὶ ψυχικὸν τῆς μητρός του εἰς μνημόσυνον ἀμφοτέρων εἰς τὴν μονὴν τοῦ Προδρόμου τοῦ Βαζελοῦ νόμ. α'.

Τὰ δὲ κατ' ὄνομα χωράφια εἰσὶν ταῦτα·

‹+› ἐν τῇ στάσει τῇ Θέρισα.

χωράφιον εἰς τὸ Κοτύλ(ιν) μοδίων μικρῶν ε'.

καὶ χωράφιον, τὸ κρατεῖ ὁ Γουσμάνος, μοδίων τοπικῶν τριῶν.

χωράφιον εἰς τῶν Παροίκων, τὸ κρατεῖ Κωνσταντῖνος ὁ Σαπούας, μοδίων ιβ' κριθ(α)ρ(ίου) τοπικῶν.

καὶ εἰς τὸ Δριώνιν τοῦ χωραφίου τὸ τρίτον.

καὶ τοῦ (..)δου(.)ραχίου τὸ τρίτον.

ἕτερα χωράφια τὰ ἐν τῇ Ποταμίᾳ εἰς τὸ Ἀλώνιν σὺν τὸ παλαιομανδρ(ίν).

ἕτερον χωράφιον ὀνόματι τῆς Κυρᾶς ἀπὸ τὴν στράταν ἕως τὸν ποταμὸν ὑπαγένει καὶ ἀκουμβίζει εἰς τὸ Ἀχυρώνιν.

60 об. *ἕτερον* | *χωράφιον τὸ Ζεώνιν μοδίων κριθ(α)ρ(ίου) ϛ'.*

χωράφιον τὸ Νανέσιν κριθ(α)ρ(ίου) μοδίων (ϛ').

καὶ εἰς τοῦ Σαπούα τὸ ἐμπρομανδρ(ὶν) κομάτιν μοδίου α'.

χωράφιον τὸ Πιτ<ζ>αρέσιν μοδίων τοπικῶν κριθ(α)ρ(ίου) η΄.

χωράφιον τὸ Μυλάριν ἀπὸ τὰ Παλαιομανδρία καὶ ἄνω· καὶ κόπτει εἰς τὸ ἐπάνω μέρος καὶ ἀναβαίνει εἰς τὸ κοβόριν τοῦ καρυδίου καὶ ἀπ᾿ ἐκεῖ εἰς ἕτερον λιθάριν καὶ εὐγένει εἰς τὸν δρόμον τὸν βασιλικὸν καὶ καταπλαγίως ἀκουμβίζει εἰς τὸ Πιτ<ζ>αρέσιν.

χωράφιον εἰς τὸν Χαμηλέτην πέραθεν μοδίων τοπικῶν τριῶν.

καὶ κηποστάσιν εἰς τοῦ Ἀνδρονίκου ὑποκάτω σὺν τὸ καρύδιν.

καὶ ἕτερον καρύδιν ὀνόματι τῆς Κυρᾶς.

καὶ ἕτερον χωράφιον ἀπὸ τοῦ Ἀχυρωνίου τὴν κόρτζαν καὶ κάτωθεν ὑποκάτω κέσου, ὡς ἀποσυνοριάζει τὴν Καλάκαν·

ὡσαύτως καὶ ὁ χαμηλέτης.

+ Τὰ δὲ ἐν τῇ Παλαιοματζούκα | εἰσὶν ταῦτα· 61 л.

χωράφιον ὀνόματι τὸ Πυργήν. εἰσί τὰ σύνορα αὐτοῦ κατάβημα τοῦ τιμίου Σταυροῦ, καὶ πιάνει κάτωθεν τὸ Μέγα τὸ Κοβόριν, καὶ ἐπαίρει τὸ Ἐξώπυργον, καὶ ἀκουμβίζει εἰς τὸ Ἀπίδιν τὸ ἐπιβόλην, καὶ ἔρχεται <καὶ> δίδει εἰς τὴν κόρτζαν τοῦ Μανδρ(ῆ), τὸ ἄνωθεν εἰς τοῦ Τζερτεύη, καὶ ἀνακάμπτει ὀλίγον ἀπὸ τὸ Μανδρήν, καὶ δίδει εἰς τὴν κόρτζαν τοῦ ὀσπιτίου εἰς τὸ μαμάϊτον, καὶ διαβαίνει πάλιν ὀλίγον πλαγίως, καὶ δίδει εἰς ἕτερον μαμάϊτον, καὶ δίδει εἰς τὸ δίωρον, καὶ ὑπαγένει ὁ δίωρος καὶ δίδει εἰς τὸν βασιλικὸν δρόμον.

ἕναι καὶ λιβαδοτόπιν εἰς Χαιρὶν

καὶ ἕτερον ὀνόματι εἰς τὴν Ἅλμην.

+ ἔστιν ὁ διορισμὸς τῆς Παρθενίας, εἰς τὸ κάτωθεν τὴν ἄκραν τοῦ χωραφίου, εἰς τὴν στράταν ἐπάνω μέρου<ς> στήκει λίθος μέγας στερεωμένος. ἀνακάμπτει ἀπ᾿ ἐκεῖ ἄνω καὶ δίδει εἰς τὰ κοβόρια καὶ εἰς τοῦ Σάπ(η) τὸν κῆ | πον· καὶ δίδει ἄνωθεν εἰς τὰ κοβόρια τὰ μακρέα 61 об.
καὶ εἰς τὸ Ἀπίδιν τὸ ἐπιβόλην· καὶ ὑπαγένει ἄνωθεν καὶ δίδει εἰς τὸν κῆπον τοῦ παπᾶ Νικηφόρου· καὶ ἀπὸ τὸν κῆπον ἐπαίρει πλαγίως καὶ δίδει εἰς τὴν Θεοτόκον κάτωθεν εἰς τὸ Μέγα τὸ Κοβόριν τοῦ παπᾶ Νικηφόρου· καὶ ὑπαγένει πλαγίως καὶ διαβαίνει τὰ πολλὰ ἀπίδια καὶ ἐκεῖθεν πιάνει τὸ συνόριν τὸ Τζιμπρικέσιν· καὶ ἐπαίρει κάτω καὶ δίδει εἰς τὴν στράταν· εἰς τὸ Πολυτζήχαλον τὸ μέγα τὸ ἀπίδιν· καὶ ὑποπλαγιώνει κάτωθεν· καὶ ἐπαίρει τὰ ἀπίδια πλαγίως ῥάδα· καὶ δίδει εἰς τὸ Μέγα τὸ Ὀφρύδην· καὶ ἀκολουθεῖ τὸ Ὀφρύδην· καὶ ὑπαγένει <καὶ> δίδει εἰς τὴν μεγάλην πέτραν ἐκείνην, τὴν ἐπιάσαμεν πρῶτον.

✝ Ἔστιν ὁ περιορισμὸς τοῦ Ἀσκουφίου οὕτως· εἰς τὸν ποταμὸν
62 л. ἀπὸ τὸ Μέγα τὸ Ὀφρύδην στήκουν Κο|κκίμηλα· καὶ ἄρχεται ἀπ'
ἐκεῖ ἄνω, καὶ δίδει εἰς τὸν Στυπάπην καὶ δίδει ἄνωθεν τοῦ Μεγάλου
Τζορίου εἰς τὸ Κεράσιν· καὶ ἀνέρχεται ἄνω· καὶ ἐπαίρει τὰ κοβόρια·
καὶ πλαγιώνει, καὶ ὑπαγαίνει <καὶ> δίδει εἰς ἕτερον κοβόριν· καὶ ἐπαίρει
κάτω ὅλην τὴν γωναίαν· καὶ εὐγαίνει πάλιν εἰς τὸ Μέγα τό
Ὀφρύδην τοῦ ποταμοῦ ἐπάνω.

~ Ἔστιν καὶ τὸ λιβάδιν εἰς τὸ Μέγαν Πέδην.

~ Ἔστιν καί ὁ περιορισμὸς τοῦ Τζευτήλου χωράφιν· ἄρχεται ἀπὸ
τὸν Ἀσώματον ἀπ' ἔμπρου ἀπὸ τὸ Χυτήν· καὶ δίδει κάτωθεν· καὶ
πλαγιώνει καὶ ἀκολουθεῖ τὸ δίωρον· καὶ εὐγένει πλαγίως καὶ ἀκουμβίζει
εἰς ἕτερον δίωρον· καὶ ἀνέρχεται καὶ ἐπαίρει τὸ κοβόριν ἄνω·
καὶ ἐπαίρει εἰς τὸ νερόν· καὶ ἀκολουθεῖ τὸ νερὸν (.....καὶ) δίδει
εἰς τὸ Χειμονάπιν· καὶ πλαγιώνει (......) τὸ Πηγάδην· καὶ ἀποσυνο-
62 об. ριάζει τὸν|Βαλεντζιάκον· καὶ δίδει κάτωθεν εἰς τὸ κοβόριν· πάλιν
δίδει εἰς τὸν Ἀσώματον ἔμπρου· εἰς τὴν μεγάλην πέτραν τὴν στερεὰν
μὲ τὸ καρύδην.

~ Ἔστιν καὶ ὁ Ἐγκρυπτὸς διπρόσωπον· ἤγουν ἀπὸ τὸν Ἅγιον
Ἠλίαν καὶ ἄνωθεν.

~ Καὶ ταῦτα, ἃ ἀνεγράφησαν, εἰσὶν αἱ βασιλικαὶ δωρεαὶ κατὰ τὰς
τῶν παλαιῶν γραφῶν περιλήψεις, ἀντιβαλθέντων παρ' ἡμῶν καὶ
ἰσαζόντων ἐκ τῶν πρωτοτύπων κατὰ τὴν τῆς ἀληθείας ἔνδειξιν.

21. 25 следует читать Πιτζαρέσιν в виду наличности прозвища Πιτζᾶρας. 30 после Καλάκαν в ркп. не дописана строка и перед ὡσαύτως в следующей строке почти 3/4 оставлено пустым. 40 δίορος ркп. 42 после ὀνόματι проп. название. 77–78 можно понять как ἀντιβαλθέντα... ἰσάζοντα (относя к ταῦτα) и как ἀντιβαλθείσας... ἰσαζούσας (относя к περιλήψεις).

105. Конца XIII века; лл. 62 об. — 64 об.; снимок л. 64 об. у Усп., 1009; см. табл. 8.

✝ Εἰς τῶν Γενακάντων.

✝ Ἡ γονικεία τῆς Πακουρμενίνας.
εἰς τὸ Παλαιογεφύριν κομάτιν α'.
εἰς τὸ Καστανίσκιν κομάτιν α'.
εἰς τὸ Σπανέσιν κομάτιν α'.
ἄνωθεν εἰς τὸν Ἅγιον Παγκράτην κεπήν.

εἰς τὸ Καριώνην κάθεν στράτας ἡ ἡμίσεια.
εἰς τὸ Κατζὴν κάθεν στράτας τὸ ἥμυσόν τ(.)
| εἰς τὸ Παραδίσιν ἐθένπερα κομάτιν τὸ ἥμυσόν. 63 л.
πέραθεν τοῦ Ῥυμίου κομάτιν α' τρίκυνον.
εἰς τὰ Τζιμίλια κομάτιν τὸ ἥμυσόν.
εἰς τὸ Πτερυγιώνην ἄνωθεν κομάτιν τὸ ἥμυσόν.
εἰς τοῦ Λαχανᾶ κομάτιν τὸ ἥμυσόν.
✢ Ἡ γονικεία τοῦ Τζιριατοῦ.
εἰς τοῦ Κάζη τὸ χωράφιν ἄνωθεν στράτας κομάτιν α'.
εἰς τὸ Παραδίσιν κομάτιν α'.
εἰς Μανδρακενὴν εἰς τὸ κεπὴν ὀπίσω κομάτιν α'.
✢ Ἡ γονικεία τοῦ Μουφλᾶ.
εἰς τὸν Ἅγιον Παγκράτην κάθεν κομάτιν α'.
εἰς τὰ Συμψίκια κομάτιν α'.
ἄνωθεν εἰς τὸ Ἀπίδιν κομάτιν α'.
εἰς Μανδρακενὴν κομάτιν α'.
εἰς τὰ Σαρπίσκια κομάτιν α'.
εἰς τοῦ Βαρτζοῦ ἐθένπερα τοῦ Ῥυμίου κομάτιν α'.
εἰς τὴν Ποντύλαν, εἰς τὰ Γερναρέσια καθὼς ἐσυνορίασαν οἱ γέροντες.
ὁμοιως καὶ ἕτερ(α) αὐτοῦ πάλιν ἀληλέγκια·
κομάτιν εἰς τὸ Καμπήσκην ἄνωθεν στράτας.
καὶ ἕτερα κομάτια.
| Εἰς τοῦ Καμπανᾶ τὰ ἀληλέγκια. 63 об.
ἀπὸ τὸν Ἀπαράκην εἰς τοῦ γερόντα εἰς τοῦ Σκοτωμένου ἄνωθεν κομάτιν ψωμιαρῶν γ'.
ἀπὸ τὸν Κουρκοῦκαν τὸ Φακιώνην κομάτιν ψωμιαρῶν γ'.
✢ Ἡ γονικεία τοῦ παπᾶ Ἰωαννάκη.
εἰς τὸ Χορτιώνην κομάτιν α'.
εἰς τὰ Λούστρια κομάτιν α'.
εἰς τὸ Σιτώνιν ἄνωθεν τῆς Θεοτόκου ἀλώνιν καὶ κῆπον.
✢ Ἡ γονικεία τοῦ Μουγούλη.
εἰς τὸ Σιτώνιν τὸ ὀψαρολίμνην κομάτιν α'.
ἕτερον κομάτιν εἰς τὸ Μιτικαριώνιν, ὅπερ ἀποσυνορεῖ τὸν Τζουλαχακόπουλον.
εἰς τὸ Χαλάβην κομάτιν α'.

εἰς τὸ βουνὴν τοῦ Λάχου τὸ Καλαμίδιν κομάτιν α'·
ἕτερα κομάτια εἰς τὸ βουνὶν τὸν Ἀβάν· εἰς τὸ Τεσκέσιν·
εἰς τὸ Πηγάδ(ιν) κεπήν·
καὶ ἄνωθεν κομάτιν·
εἰς τ(ὸ) Πλακ(ὴν) ἄνωθεν κομάτιν α'·
εἰς τὸν Ὑπόλιθον κομάτιν α', ὅπερ ἔχει ψυχικὸν ἀπὸ τὴν Μονοβίναν·
αὐτοῦ ἕτερον κομάτιν, τὸ κρατεῖ ὁ Μαστορόπουλος.
64 л. εἰς τὸ Καγκέλιν κομάτια γ' ἕως εἰς | τὸ ἀποσύνορον τοῦ Βασίκ(α).
εἰς τὰ Γοζόμια κομάτιν α' ψυχικὸν ἀπὸ τὸν Ψωμᾶν· καὶ τὰ πλαγιάδια.
✠ Ἡ γονικεία τοῦ Ἀγάπη.
κομάτιν εἰς τὸ Παραδρόμην ἀπὸ τοῦ Ταγκᾶ καὶ ἄνωθεν.
ἕτερον κομάτιν αὐτοῦ κάθεν στράτας.
ἕτερον κομάτιν ἄνωθεν στράτας ἕως τὸ Ῥυμήν.
✠ Ἡ γονικεία τοῦ Κουσπίδη.
εἰς τὰ ὑποπόδια τοῦ Βουδεξίου ἀλώνιν, ἕδρα καὶ χωράφιν.
εἰς τὸ Βριομένον τὸ Ἀπίδιν κομάτιν α'.
✠ Ἡ γονικεία τοῦ Βώβορι.
κομάτιν μέγα α' κρατεῖ αὐτὸ ὁ Μονόβας.
αὐτοῦ ἄνωθεν τοῦ Κερασί(ου) κομάτιν α'.

Εἰς τὴν Παλαιοματζούκαν.

Τὰ βασιλικὰ καὶ νέα ἀλελέγκια.
✠ Ἡ γονικεία τοῦ Χασπούκ(η).
εἰς τὸ Λιθάριν ἐπάνω κομάτιν α'.
ἕτερ(ον) κομάτ(ιν) πέραθεν τοῦ Ῥυμίου.
εἰς τὸ ἀλώνην τοῦ Ἰσρέλη κομάτιν α'.
εἰς τὸ Τερμόνην ἐπάνω κομάτιν α'.
καὶ πέντε κομάτια ἕτερα.
64 об. | ✠ Ἡ γονικεία τοῦ Ζιμωνίτ(η).
εἰς τὸ Τζορτζὴν κομάτιν α'.
εἰς τὴν Σοῦδαν κάτωθεν τοῦ Τορνάρι κομάτιν α'.
εἰς τὸ Μυριόφυτον κομάτιν α'.
αὐτοῦ πλησίον κομάτιν α'.
εἰς τὸ Χαψὴν κομάτια β', ἡ στράτα ἐνάμεσα.

✠ Ἡ γονικεία τοῦ Ῥέκα.
ἄνωθεν τῆς Ὑπεραγίας Θεοτόκου· εἰς τὸ Τζερεκερίον κομάτιν α'.
✠ Ἡ γονικεία τοῦ Γαυρᾶ.
εἰς τὴν Σοῦδαν ἐπάνω κομάτιν α'.
καὶ εἰς τοῦ Γαυρᾶ Ἀνδρονίκ(ου) κομάτιν α'.
εἰς τὸ Παλαιοκέπην κομάτιν α'.
✠ Ἡ γονικεία τοῦ Τραγᾶ.
ἐκαπαλώθη σίτ(ου) ψωμιάρ(ια) γ'.
✠ Ἡ γονικεία τοῦ Μιχαλᾶ.
εἰς τὸ Τζορτζὴν κάτωθεν κομάτιν α'.
εἰς <τὴν> Χαψὴν ἐκεῖθεν τοῦ Πηγαδίου κομάτιν α'.

47, 70 и 87 над εἰς поставлено в ркп. τ с perispomenon, вследствие чего далее вместо τὸ можно было бы читать τοῦ. 82 γαυραανδρονικ(ου) ркп. (образовано, как Χαλδογεώργιος из Γεώργιος ὁ Χάλδης).

106. Конца XIII века; лл. 65 л.—70 об.; см. табл. 8—10.

| *[Οὗτοι εἰσὶν οἱ κατὰ χώραν καὶ φυλὴν τὰ δημόσια ἐκτελοῦντες.]* 65 л.

Στάσις τοῦ Γερνάρη ἤτοι ἡ Ποντύλα νομμ. ιγ' ἥμ. καὶ ἀπὸ τοῦ Χαρσύλα νόμ. α'. τραχχ. β'. ὁμοῦ νομμ. <ι>δ' ἥμ. τραχχ. β'.

— [Ζούζα] ἔστιν Ἰωαννάκης ὁ Ζιγανιτόπουλος· ἔχει <γυναῖκα> Γρηγορίου θυγατέραν Ἄνναν· γαμβρὸν ἐπ' αὐτῷ Ἰωάννην τὸν Ἀγαπόπουλον ἤτοι τὸν Ζιγανιτόπουλον. νόμ. α' τραχχ. β'
— ἀπὸ Ζούζαν εἰς τὴν Τζίαχαν· Γρηγόριος ὁ Πανάκης ἤτοι ὁ Ἀγαπόπουλος. τραχχ. (β')
— ἔστιν Ἰωάννης ὁ Παπαδόπουλος· ἔχει <γυναῖκα> Ἄνναν. τραχχ. β'
— ἀπὸ Χορτοκόπιν Θεριανὸς ὁ Βασάκης. τραχχ. β'
— ἀπὸ τοῦ Τριγολίκτου Ἰωαννάκης ὁ Κώνκας. τραχχ. β'
— ἀπὸ Χαλάβεναν ἐκ τῆς στάσεως τοῦ Ἰντζούλη Ἰωαννάκης ἱερεὺς ὁ Χοντρός. τραχχ. β' ἥμ.
— ἔστιν Ἰωάννης ἱερεὺς ὁ Ψαλενός· ἔχει <γυναῖκα> Καλάναν, υἱὸν Λέοντα καὶ Γεώργιον. τραχχ. β' ἥμ.

*

— ἀπὸ Χαλάβεναν Θεριανὸς ὁ Παξιμάτης. τραχ. α´

— ἀπὸ Χαλάβεναν ἐκ τῆς στάσεως τοῦ Τζιμπρικᾶ Νικηφόρος ἱερεὺς ὁ Κουτρουπέλης. τραχχ. β´

— ἀπὸ Χορτοκόπιν Θηριανὸς ὁ Σαπούας. τραχ. α´

— ἀπὸ Χαλάβεναν ἐκ τοῦ Τζιμπρικᾶ Θεριανὸς ὁ Πετρόπουλος. τραχ. α´

— ἀπὸ τοῦ Ἀλέθωνος Ἰωάννης ὁ Σουφλάμης. τραχχ. ε´

— ἡ μερὶς Ἄννης τῆς Πετράβας. τραχχ. γ´

— ἀπὸ Χαβὰν Γεώργιος ὁ Καλακαΐτης. τραχχ. ς´

— ἀπὸ τοῦ Τριγολίκτου Ἁγνὴ ἡ Βαρτερίνα. τραχχ. ς´

65 οб. | — ἀπὸ τοῦ Δόμνου Βασίλειος ὁ Δόμνος. τραχχ. η´

— ὁ (....ὸς) τῆς ἁγίας Μαρίνας ἀπὸ λεγάτ(ου) Λέοντος τοῦ Δόμνου. τραχχ. η´

— ἀπὸ Ζούζαν ἐκ τοῦ Καρᾶ Θεριανὸς ὁ Πυργιανάς. τραχχ. η´

— ἀπὸ Τραπεζοῦντος Ἰωαννάκης ὁ Διβελίτης γυναικικὰ αὐτοῦ. τραχχ. δ´

— ἡ μερὶς Μαρίας τῆς Δημητρίνας. τραχχ. β´

— ἔστιν Θηριανὸς ὁ Παγκράτης· ἔχει ‹γυναῖκα› Ἄνναν· υἱὸν Λέοντα. τραχχ. β´

— ἀπὸ τοῦ Κοτζωνᾶ Ἰωάννης ὁ Κανζίκης. τραχχ. δ´

— απο Ζούζαν ἐκ τοῦ Καρᾶ Βασίλειος ὁ Μαργαρίτας. τραχχ. δ´

— ἔστιν Ἑλένη χήρα ἡ Καλομαρόπουλος· ἔχει υἱὸν Γεώργιον. τραχχ. β´

— ἀπὸ τὴν στάσιν τοῦ Ἰντζούλη Θεριανὸς ἱερεὺς ὁ Τορνάρης. τραχχ. ι´ ἥμ.

— ἀπὸ τὴν στάσιν τοῦ Ῥωμανοπούλου Γεώργιος ὁ Ῥωμανόπουλος. τραχχ. γ´

— ἀπὸ Τραπεζοῦν ὁ υἱὸς Θεριανοῦ τοῦ σωματοφύλακος τοῦ Κότζαπα ὁ Γεώργιος. τραχχ. ι´

— ἔστιν Θηριανὸς ὁ Λολότζης· ἔχει ‹γυναῖκα› Μαρίαν· υἱὸν Ἰωαννάκην, ὁ γυναικα-

δελφὸς αὐτοῦ Κωνσταντῖνος· ἡ πενθερὰ αὐτοῦ Ἄννα· νόμ. α' τραχχ. ιγ'

— ἀπο τοῦ Ῥαχίτ(η) Βασίλειος ἱερεὺς ὁ Πυροϊωαννάς· ὁ υἱὸς αὐτοῦ Ἰωάννης ὁ Παπαδόπουλος. τραχχ. β'

— ἔστιν Μιχαὴλ ὁ Κάμπ(λης)· ἔχει ‹γυναῖκα› Εἰρήνην, υἱὸν Ῥωμανόν. τραχχ. β'

— ἡ ἄνωθεν χήρα ἡ Καλομαρόπουλος. τραχ. α'

— ἀπὸ τοῦ Λιθάρου Γεώργιος ὁ Ἀναστάς. τραχ. α'

|— ἔστιν Γεώργιος ὁ Ἐπιφανόπουλος· 66 π. ἔχει γυναῖκα Εἰρήνην, πενθερὰν Θηριανοῦ τὴν Πυροϊωαννήναν· ὁ υἱὸς αὐτοῦ Ἰωάννης. τραχχ. δ'

— ἔστιν Θεριανὸς ὁ Πυροϊωαννάς· ἔχει μητέρα Ἄνναν. τραχχ. β'

— Βασίλειος ὁ Χαϊμὰς ἤτοι ὁ Λουλούκας. τραχχ. ϛ' ἥμ.

— ἀπὸ Τραπεζοῦν Καλάνα ἡ Ἀργαλιάβα ἡ μαγκίπησα. τραχχ. ϛ'

— ἀπὸ τοῦ Χαμουρίου Νικηφόρος ὁ Κάναρις. τραχχ. ϛ'

— ἔστιν Μιχαὴλ ὁ Πυροϊωαννὰς ὁ γέρων. τραχχ. ϛ'

— ἀπὸ τοῦ Δόμνου Βασίλειος ὁ Δόμνος. τραχχ. ιδ'

— ἀπὸ τοῦ Δόμνου Ἰωαννάκης ὁ Σαπούας. τραχχ. γ'

— ἀπὸ Χαλάβεναν ἐκ τοῦ Μαζάσπη Ἰωαννάκης ὁ Βαλεντζιάκων τραχχ. θ' ἥμ.

— ἔστιν Νικηφόρος ὁ Χουχουνίτης ἱερε(ὺς) Γεώργι(ος). ἔχει ‹γυναῖκα› Μαρίαν, υἱὸν Θεριανόν. τραχχ. ια'

— ὁ ἄνωθεν Ἰωάννης ὁ Μανουγράς. τραχχ. δ'

— ὁ ἄνωθεν Γεώργιος ὁ Ἐπιφάνιος. τραχχ. δ'

— ὁ ἄνωθεν Ἰωάννης ὁ Ζιγανιτόπουλος. τραχχ. γ'

— ἔστιν Μιχαὴλ ὁ Πυροκώ(στας)· ἔχει ‹γυναῖκα› Καλάναν· θυγατέρα Ἄνναν. τραχχ. γ' ἥμ.

— ἔστιν Βασίλειος ὁ Πυροκώ(στας)· ἔχει γυναῖκα Φῶταν· υἱὸν Ἄνθην. τραχχ. γ'

— ἔστιν Ἰωάννης ὁ Πυροκώ(στας)· ἔχει ἀδελφὸν Λέοντα· ἡ μήτηρ αὐτοῦ χήρα Εἰρήνη ἡ Πυροκώστενα. τραχχ. γ'

66 οδ. |— ἀπὸ Κόρους Ἰωάννης ὁ Ματζουκαΐτης. τραχχ. δ'

— ἀπὸ τοῦ Λάθρ(η) Λέων ὁ Ζαγιανός. τραχχ. ιγ' ἥμ.

— ἀπὸ τοῦ Ἰντζούλι Νικηφόρος ὁ κὺρ Ἰωάννης. τραχχ. β'

— ἀπὸ Χαλάβεναν ἐκ τοῦ Καντζῆ Γεώργιος ὁ Γρηγορόπουλος. τραχχ. β'

— ἡ μερὶς Γεωργίου τοῦ Πυροκώνστα. τραχχ. ε'

— ἡ μερὶς Στεφάνου τοῦ Πυροκώνστα τραχχ. δ'

— ἀπὸ Χαλάβεναν ἐκ τοῦ Καντζῆ ἤτοι τὸ Δριδιώνιν Θεριανὸς ὁ Ζωσιμάς. τραχχ. β'

— ἀπὸ τοῦ Δόμνου Σισίνιος ὁ Ἀγκουροϊωάννης. τραχχ. β'

— ὁ ἄνωθεν Θηριανὸς ὁ Παγκράτης. τραχχ. β'

— ἀπὸ Χαλάβεναν ἐκ τὴν Θέρισαν ἤτοι τοῦ Τζιγκροῦ Νικήτας ὁ Αἰχμάλωτος, ὁ γαμβρὸς τοῦ Ἀνδρονίκου. τραχχ. β'

— ἀπὸ Ὤλασαν ἐκ τὴν Ψωρὴν Ἰωάννης ὁ Ζουβάκης. τραχχ. (β')

— ἀπὸ τὸ Χορτοκόπιν Σισίνιος ὁ Μουλίτης. τραχχ. (β')

— ὁ ἄνωθεν Ἰωάννης ὁ Παπαδόπουλος. τραχχ. γ'

— ἀπὸ Χαλάβεναν ἐκ τοῦ Τζιμπρικᾶ Λέων ὁ Παρτάν(ης). τραχχ. β'

— ὁ ἄνωθεν Ἰωάννης ὁ Ζιγανιτόπουλος. τραχχ. ζ'

— ἀπὸ τοῦ Ῥαχίτ(η) Ἰωάννης ὁ Παπαδόπουλος. τραχχ. (ς')

— ὁ ἄνωθεν Γεώργιος ὁ Ἐπιφανόπουλος. τραχχ. ζ'

67 π. |— ἔστιν Εἰρήνη ἡ Πυροϊωαννίνα· ἔχει υἱὸν Θεριανόν. τραχχ. β'

— Στάσις τοῦ Δόμνου· ἐν μὲν τῷ παλαιῷ, διὰ τῶν νεμομένων ἀπὸ νομμ. (.) ἥμ. νομμ. ε'· καὶ ἀπὸ τοῦ Χαρσύλα νόμ. α' τραχχ. β'· ὁμοῦ νομμ. ς' τραχχ. β'.

— Ἰωαννάκης ὁ Σαπούας· ἔχει <γυναῖκα> Ἑλένην, ἡ μήτηρ αὐτοῦ Ἑλένη. τραχχ. ιγ'

— Στάσις ἡ Αἰθέρισα νομμ. γ' διὰ πάκτου.

— ἀπὸ Σπέλιαν Βασίλειος ὁ Τζαπρὶς καὶ ὁ ἀδελφός του ὡς ἀπὸ Ῥωμανοῦ τοῦ Τζαπρὶ ἐπίσης μετὰ τῆς μονῆς τοῦ Ζαβουλῶν. τραχχ. β' ἥμ.

— ἐν τῷ χωρίῳ Χασδένιχας· στά(σις) τοῦ Τριγολίκτου· ἀπὸ νομμ. ιγ' ἥμ. νομμ. ιε' καὶ ἀπὸ τὴν στάσιν τοῦ Χαρσύλ(α) νόμ. α' τραχχ. β'· ὁμοῦ νομμ. ις'. τραχχ. β'

— ἡ μερὶς τοῦ εἰς αἰχμαλωσίαν Ἀνδρονίκου τοῦ Ῥωμανοπούλου. τραχχ. γ'

— ἡ μερὶς τοῦ ἀπὸ Ποντύλ(αν) Θεριανοῦ τοῦ Ῥωμανοπούλου. τραχχ. β' ἥμ.

— ἡ μερὶς ἑτέρα Θεριανοῦ τοῦ Ῥωμανοπούλου. τραχ. ἥμ.

— ἡ μερὶς ἑτέρα Θεριανοῦ τοῦ Ῥωμανοπούλου. τραχ. α'

— ἀπὸ τὸν Ζαβουλῶν Ἰωαννίκιος μοναχὸς ὁ Παπαδόπουλος. τραχχ. ι'

|(— ἡ μερὶς τῶν εἰς αἰχμαλωσίαν παίδων 67 об.
..... τοῦ Ῥωμανοπούλου). (τραχχ. β')

— ἡ μερὶς τῶν εἰς αἰχμαλωσίαν παίδων Κώνστα ἱερέως τοῦ Ῥωμανοπούλου. τραχχ. β'

— Στάσις τοῦ Γερνάρη ἤτοι ἡ Ποντύλα νομμ. ιγ' ἥμ. καὶ ἀπὸ τὴν στάσιν τοῦ Χαρσύλ(α) νόμ. α' τραχχ. β'· ὁμοῦ νομμ. ιδ' ἥμ. τραχχ. β'

— ἀπὸ τὸ Βαζελῶν παπᾶ Φωκᾶς ὁ Τορνάρης. τραχχ. ιη' ἥμ.

— ἡ μερὶς τῶν εἰς αἰχμαλωσίαν παίδων Θεριανοῦ τοῦ Ῥωμανοπούλου τραχχ. γ'

Στάσις τοῦ Τζυλιάρη ἤτοι ἡ Ζέρζελη *νομμ. θ' ἥμ.*

— ἡ μονὴ τοῦ Ζαβουλὼν ἀπὸ λεγάτ(ου) Βασιλείου τοῦ Ζωσιμᾶ — τραχ. α'

— ἡ μονὴ τοῦ Ζαβουλὼν ἀπὸ Γεωργίου τοῦ Μουζουνίτου ἀγορά. — τραχχ. δ' (ἥμ.)

— ἡ αὐτὴ μονὴ ἀπὸ λεγάτ(ου) Βασιλείου τοῦ Ζωσιμᾶ. — τραχχ. (ιβ')

— ἀπὸ Μουλακαῒν Θεριανοῦ τοῦ Καθιστοῦ — τραχχ. (γ')

— καὶ εἰς τὰ ἀναγραφόμενα Στεφάνου ἐκείνου τοῦ Ἀργυροῦ ἤτοι τοῦ Πολίτου — (τραχχ...)

— ἡ μονὴ τοῦ Ζαβουλὼν ἀπὸ λεγάτ(ου) Βασιλείου τοῦ Ζωσιμᾶ. — τραχχ. ε'

— ἀπὸ Ποντύλας Λέων ὁ Ζιγανίτης τῆς μονῆς. — τραχ. α'

— ἡ αὐτὴ μονὴ ὡς ἀπὸ Ἰωαννικίου ἱερομονάχου. — τρα(χ..)

— ὁ ἀναγεγραμμένος Θεριανὸς ὁ Καθιστός. — τραχχ. γ' ἥμ.

68 π. | (.................................) — (τραχχ......)

— ἡ αὐτὴ μονὴ ἀπὸ λεγάτ(ου) Βασιλείου τοῦ Ζωσιμᾶ. — τραχχ. γ'

Στάσις τοῦ Τζιγκροῦ *νομμ. ι' ἥμ.*

— ἡ μερὶς Βασιλείου τοῦ Τουρκοθεριανοῦ τῆς μονῆς ἀγορά. — τραχ. ἥμ

— Βασιλείου τοῦ Ζωσιμᾶ ἀγορὰ ἀπὸ τὸν Βαρδόπουλον. — τραχ. α'

— ἡ μονὴ ἀπὸ λεγάτ(ου) τοῦ αὐτοῦ Βασιλείου τοῦ Ζωσιμᾶ ἕτερ(α). — τραχχ. ϛ'

— ἡ αὐτὴ μονὴ τῆς ἀπὸ Τραπεζοῦν Μαρίας τῆς Κουρτιστόπουλος λέγατ(ον). — τραχ. α'

Χωρίον Χαλάβαινα στάσις τοῦ Καντζῆ [ἤτοι τῆς Χορτοκόπης] *νομμ. ια'.*

— ἡ μερὶς τοῦ εἰς αἰχμαλωσίαν τῶν παίδων Ῥωμανοῦ τοῦ Τζαμπαλούκη λέγατον εἰς τὸν Ζαβουλών — τραχ. α'

— ἡ μερὶς Βασιλείου τοῦ Ζωσιμᾶ, λέγατον τῆς αὐτῆς μονῆς. τραχχ. δ' δίμ.

— ἀπὸ Δούρουχαν Θεριανοῦ τοῦ Διπλοΐτου τῆς αὐτῆς μονῆς. τραχχ. γ' δίμ.

— ἡ μερὶς Βασιλείου τοῦ Χάλδη τῆς αὐτῆς μονῆς. τραχ. δίμ.

— ἡ αὐτὴ μονὴ τοῦ Ζαβουλὼν ἀπὸ λεγάτ(ου) Θεριανοῦ τοῦ Ἀρταβάστου. τραχχ. β'

| (. . . . .) (τραχχ. . . . .) 68 ὀβ.

— ἡ αὐτὴ μονὴ ὡς ἀπὸ ἱερομονάχου Ἰωαννικίου. τραχ. α'

— ἡ αὐτὴ μονὴ ὡς ἀπὸ τοῦ αὐτοῦ Ἰωαννικίου ἱερομονάχου ἑτέρ(α). τραχ. α' ἥμ.

— ἡ μερὶς τῆς Γουραπεῖνας τραχ. α' ἥμ.

— ἡ αὐτὴ μονὴ ἀπὸ λεγάτ(ου) Βασιλείου τοῦ Ζωσιμᾶ τραχχ. β' ἥμ.

— ἡ αὐτὴ μονὴ καὶ ἀγορὰν ἕτερ(α). τραχ. α'

— ἡ αὐτὴ μονὴ ἀπὸ λεγάτ(ου) Λέοντος τοῦ Κουμάνου ἕτερ(α). τραχχ. β'

— ἡ αὐτὴ μονὴ ἀπὸ λεγάτ(ου) Λέοντος τοῦ Πυροῦ. τραχχ. ε'

— ἡ αὐτὴ μονὴ ὡς ἀπὸ λεγάτ(ου) Βασιλείου τοῦ Ζωσιμᾶ ἕτερ(α). τραχχ. γ'

— ἡ αὐτὴ μονὴ ἀγορὰν παλαιὰν ὡς ἀπὸ τοῦ αὐτοῦ ἕτερ(α) τραχχ. ϛ'

— ἡ αὐτὴ μονὴ ὡς ἀπὸ λεγάτ(ου) τοῦ αὐτοῦ Ζωσιμᾶ Βασιλείου ἕτερ(α) τραχχ. δ'

Στάσις τοῦ Μαζάσπη, νομμ. ι' ἥμ. τῆς μονῆς.

— ἔστιν Λέων ὁ Ζιγανίτης· ἔχει <γυναῖκα> Ἄνναν, θυγατέρα Ζωήν. τραχχ. δ' ἥμ.

— ἀπο τοῦ Χόντη Ἁγνὴ ἡ Παπαγιαννακοπούλος ἡ Σαπουάβα. τραχχ. δ'

— ἡ μερὶς Ἀνδρονίκου τοῦ Σαπούα. τραχχ. β'

— ἡ μερὶς Μαρίας τῆς Κουρτιστόπουλος. τραχ. α'

— ἡ μονὴ αὕτη τοῦ Ζαβουλὼν ἀπὸ λεγάτ(ου) μοναχοῦ τοῦ Λεοντίου. τραχ. α'

69 л. |— ἡ μερὶς τοῦ Καθιστοῦ, ἥνπερ νέμεται Θεριανὸς ὁ Καθιστός. τραχ. (ις')

— ἡ μερὶς τοῦ Ζαβουλῶν ἀπὸ λεγάτ(ου) Θερ(ιανοῦ) ἱερέως τοῦ Ταρωνίτου καὶ <Γεωργίου> νομικοῦ τοῦ Ζαμνίτου. τραχχ. ις'

— ἡ αὐτὴ μονὴ ἀπὸ λεγάτου τῆς ἐξαδελφῆς αὐτοῦ Ῥοδαθίας χήρας ἕτερ(α). τραχχ. ις'

— ἡ μερὶς Νικηφόρου τοῦ Τουρκοθεριανοῦ, ἣν ἔχει ἡ μονή. τραχχ. ια' ἥμ.

— ἡ μονὴ αὕτη τοῦ Ζαβουλὼν ἀπὸ λεγάτ(ου) Καλάνας τῆς Βαλεντζιάκαινας. τραχχ. ε' ἥμ.

— ἡ μονὴ ἀπὸ λεγάτου Φωμᾶ τοῦ Ἀλαγάτρ(η). τραχχ. γ'

Στάσις τοῦ Ἰντζούλη ἤτοι ἡ Κουνάκαλις.

ἡ μονὴ ἡ Θεοτόκος τοῦ Λαχανᾶ νομμ. ιζ' ἥμ. τῆς μονῆς.

— ἔστιν Θεριανὸς ὁ Γιαγούπης ἔχει <γυναῖκα> Τυχηρήν, υἱὸν Παῦλον. τραχχ. γ' ἥμ.

Στάσις τοῦ Παπύρου νομμ. ι' ἥμ.

— ἡ μερὶς Ῥωμανοῦ τοῦ Τζαμπάχη. τραχ. α' τῆς μονῆς.

— ἀπὸ Κουνάκαλιν Θεριανὸς ὁ Γιαγούπης. τραχχ. β' τῆς μονῆς.

Στάσις ἡ Γαίμαντρα σὺν τῇ Δάβαρη νομμ. ια' ἥμ.

— ἡ μερὶς Νικηφόρου ἱερέως τοῦ Κρομμύδη. τραχχ. ιε' ἥμ. τῆς μονῆς.

— ἡ μερὶς χήρας Εἰρήνης τῆς Κρομμυδίας. τραχ. α', τῆς μονῆς.

— ἡ μονὴ τοῦ Ζαβουλὼν ἀπὸ λεγάτ(ου) Βασιλείου τοῦ Ζωσιμᾶ. τραχχ. β'

69 об. |— τοῦ αὐτοῦ γονικὸν ἕτερα. τραχχ. ιθ'

Στάσις ἡ Αἰθέρισα νομμ. γ', ἀφ' ὧν.

+ ἡ μονὴ τοῦ Ζαβουλῶν δι' ὁρισμοῦ βασιλικ(οῦ) νόμ. α'.

— Προάστειον ἡ Σαχνόη διὰ πάκτου νομμ. γ', ἐξ ὧν.

— ἡ μονὴ ἀγορὰν ἀπὸ τὸν Ἀλαγάτρ(ην). τραχχ. ε'

— ἡ μονὴ ἀπὸ λεγάτ(ου) μοναχοῦ τοῦ Παπαγεωργίου ἕτερ(α). τραχχ. ε'

— ἡ μονὴ ὡς ἀπὸ Γρηγορίου τοῦ Παπαγεωργοπούλου ἕτερ(α). τραχχ. ε' ἥμ.

— ἡ μονὴ ὡς ἀπὸ Βασιλείου τοῦ Χάλδη ἕτερ(α). τραχχ. γ' ἥμ.

+ Προάστειον ἡ Χαλάβαινα [ἤτοι Χορτοκόπης] νομμ. γ', ἀφ' ὧν

— ἀπὸ τοῦ Μαζάσπη Λέων ὁ Ζιγανίτ(ης), ἃ εἰσὶν τοῦ Ζαβουλών. τραχχ. γ'

— ἡ μονὴ αὕτη ἀπὸ λεγάτ(ου) Βασιλείου τοῦ Ζωσιμᾶ. τραχ. α'

+ μονὴ ὁ ἅγιος Γρηγόριος τοῦ Σαβατίωνος δι(...) τῆς μητροπόλεως νομμ. γ'

— κατέχεται διὰ σιγιλλίου τῆς μητροπόλεως παρὰ τῆς τοιαύτης μονῆς τοῦ τιμίου Προδρόμου τοῦ Ζαβουλών.

Χωρίον Δανείαχα στάσις τοῦ Τζαμπαλούκη νομμ. ι'.

— ἔστιν Θωμᾶς ὁ Ἰσάχας· ἔχει γυναῖκα Καλάναν, υἱὸν Κώνσταν, θυγατέρα Εἰρήνην. τραχχ. η' τῆς μονῆς.

| — ἡ μερὶς τοῦ Χ(.....). (τραχ. α' ἥμ.) 70 r.

— ὁ καθηγούμενος τῆς μονῆς τοῦ Ζαβουλὼν Θεοδώρητος ἱερομόναχος. τραχ. α' ἥμ.

— ἀπὸ Γόδοναν Θεριανὸς ὁ Πατρατίν(ος) ὁ υἱὸς τοῦ Κρηκόρη τραχχ. ϛ'

ἅτινα ἐλιγάτευσεν τὴν μονὴν τοῦ Ζαβουλών.

+ Στάσις τοῦ Ἀλαμάντη νομμ. ια'.

— ὁ καθηγούμενος τῆς μονῆς τοῦ Ζαβουλῶν ὁ Θωμόπουλος. τραχχ. ιζ' (τρία τέτ.)

Στάσις τοῦ Μανδρίτ(η) νομμ. ια΄.

— ἀπὸ Σαχνόην Λέων ὁ Σαλαφούνδας. τραχχ. β΄ τῆς μονῆς.

— ἡ μερὶς Κωνσταντίνου τοῦ Κουρή· τραχχ. ε΄ τῆς μονῆς.

Στάσις τοῦ Μάζηλα ἤτοι τὸ Ἀγρίδ(ιν) [ἤτοι Χαμουρί] νομμ. ια΄.

— ἡ μονὴ τοῦ Ζαβουλῶν ἀπὸ Θεοδωρήτου ἱερομονάχου τοῦ Ἀλαμάντη. τραχχ. γ΄

— ὁ παπᾶ Ἰωαννάκης ὡς ἀπὸ ἱερέως τοῦ Καλιγάρη. τραχχ. β΄ ἥμ.

— ἡ μερὶς τοῦ ἀπὸ Χαλάβαιναν Λέοντος τοῦ Παξιμάδη. τραχχ. β΄ ἥμ.

— ἡ μερὶς τοῦ ἀπὸ ‹τῶν› Ἀμπροβίων τοῦ εἰς Ζαχαρίαν Κωνσταντίνου υἱοῦ καὶ Γεωργίου τοῦ Σιγεριανίτου, τοῦ Ζαβουλῶν. τραχχ. γ΄ ἥμ.

— τοῦ εἰς αἰχμαλωσίαν τοῦ ἀπὸ τῶν Ἀμπροβίων υἱοῦ Ἰωαννάκη τοῦ Ἀτζουπᾶ, τραχχ. γ΄ ἥμ. τῆς μονῆς.

70 οβ. | (. . . . .) τραχ. (. .) τῆς μονῆς

Στάσις τοῦ Σκίρτα [ἤτοι Δανειάχας] νομμ. ς΄.

— ἀπὸ Γόδωναν ὁ υἱὸς τῆς κυρὰ Μαρίας τραχχ. η΄

— λεγάτον τοῦ Ζαβουλῶν·

— Χωρίον τὰ Σπήλαια. στάσις τοῦ Μουντάνου νομμ. ‹.› τῆς μονῆς.

— ἔστιν παπᾶ Ἰωάννης ὁ Ζαχαρίας. ἔχει ἀνεψιὸν Γεώργιον τὸ ἀκρόστιχον Προδρόμου. τραχχ. β΄ τῆς μονῆς.

— εἰς τὰ ιη΄ νομμ. εἰς τὸ μέρος τῶν Λαλουμάδων.

— ἀπὸ τοῦ Γουβρίωνος Θεριανὸς ὁ Καθιστός. τραχχ. η΄. τῆς μονῆς.

— εἰς δὲ τὰ ιη΄ νομμ. τοῦ Θωμᾶ.

— Ζαβουλῶν ἀπὸ λεγάτ(ου) Βασιλείου τοῦ Σπελιανίτ(η). τραχχ. ιβ΄

— εἰς δὲ τὰ ἕτερα ιη΄ νομμ. τοῦ Ζαχαρία.

— ὁ ἡγούμενος τοῦ Ζαβουλῶν Θεριανὸς ἱερεὺς ὁ Ὀστρικάς τραχχ. ιη΄

— *χωρίον Χαβὰ καὶ στάσις ἡ Χαβά. τῆς μονῆς.*
— *ἀπὸ τὴν Σπήλ(ην) ἐκ τοῦ Ἄντζουκα Γεώργιος ὁ Τζαβαλάκης.* *τραχχ. ι'*
— *Χωρίον Χαβδένιχα. στάσις τοῦ Χαμουρίου σὺν τοῦ Χαρσύλη. ἔστιν Ἄνθης ὁ Χαμούρης· ἔχει θυγατέρα Καλάναν. γαμβρὸς αὐτοῦ Χριστόδουλος ὁ Κανζίκης. εἰς τὴν μονὴν τοῦ Ζαβουλῶν λήγατον.* *τραχχ. ε'*
|— *Χωρίον Σολδόη. στάσις τοῦ Καλκανᾶ.* *νομμ. θ'.* 81 л.
— *ἡ μερὶς τῆς ἀπὸ τὸ Σπήλ(ιν) Εἰρήνης τῆς Κουντουπούλ(ου).* *τραχχ. ε'. τῆς μονῆς.*

1 Эта кинов. приписка помещена против строк 12—17. 1, 5, 147—148, 201, 221, 232 помещенное в прямых скобках приписано тою же рукой, которая действовала киноварью в **103**, 1, 9, 10, 15, 16, 17, 27. 7 *γραμβρὸν* ркп. 62 ркп. дает *κάμπ* с надписанной над *π* буквой, повидимому, *λ*, но возможно, что и *χ*. 52, 73 *ἀπὸ Τραπεζοῦν*] сравн. в р-си Hieros. Metoch. 610: *ἀπὸ τὴν Τραπεζῶν* (*Ἱεροσ. βιβλ.*, IV, 614). 84 в ркп. чтение букв *γεωργι* не подлежит сомнению, при чем *γι* надписано над *ωρ* и ударение стоит не над *ω*, а над *ρ*; не следует ли читать *γεωργιανός*? 112 Фамилия *Αἰχμάλωτος* (Изв. РАИ в КП, 1907, XII, 243; Trinchera, Syllab. graec. membr., 6, 239, 258, 284). 127, 133, 138, 156 черта проведена везде писцом. 153 неразобранное имя, может быть, следует читать *Ἀνδρονίκου* соответственно 142—143. 195—196 порядок слов должен быть или *ἡ μερὶς τῶν παίδων τοῦ εἰς αἰχμαλωσίαν* или *ἡ μερὶς τῶν εἰς αἰχμ. παίδων*; первый вероятнее. 214 вероятно, после *ἀγορὰν* пропущено что-нибудь вроде *ἀπὸ τοῦ αὐτοῦ*. 265—266 *δι' ὁρισμ βασιλικ* ркп., причем над *μ* и *κ* поставлено *τ* с завитком, позволяющим далее вместо *τὸ* читать *τοῦ*. 270 титул *παπᾶς* к простым монахам нигде в тексте ркп. не прилагается, и поэтому следует считать *παπᾶ Γεωργίου* за прозвище, т. е. писать *Παπαγεωργίου*, а имя монаха считать пропущенным. 181, 206, 289, 315 недостающее в строках срезано переплетчиком. 310—311 осмыслить, кажется, можно так: *τοῦ εἰς ‹αἰχμαλωσίαν› Κωνσταντίνου υἱοῦ Ζαχαρία.* 336 *τοῦ χαμουρίου* переделано в *τῆς Χορτοκόπης* реставратором. 345 *τραχχ. ε'* переправлено очень хорошо в *πάντα* другой рукой.

107. Второй полов. XIII века; лл. 12 об., 71 л. — 72 об.; перевод в коммент. стр. LV—LVI.

+ *Θεοδώρητος ἱερομόναχος, ὁ Σαπούας οἰκείᾳ χειρὶ προέταξα.*

|+ *Κἀγὼ Θεοδώρητος ἱερομόναχος, προειδὼς τὰ ἔργα ἃ εἰργασάμην, ‹ὅτε› ἔτι τῷ κοσμικωτέρῳ προσήμην βίῳ, καὶ συνειδὼς τὰ πάντα φθαρτὰ καὶ ταχὺ διαλυόμενα καὶ ὡσεὶ χλόην ἀνθοῦσα‹ν› τὸ* 71 л.

πρωῒ καὶ πρὸς ἑσπέραν ἀκλεῶς ἀποπίπτουσα<ν>, ταύτην τὴν ἐξάπινα
ῥοὴν καὶ ἀπροσδόκητον ὁρμὴν ἐν διανοίᾳ λαβ[ών, μήτε] νόσῳ
συνεχόμενος, μήθ' ὑπ' ἄλλη[ς ἀπαιτού]μενος τῆς ὧδε ζωῆς τῆς
ὤκισ[τα ἐπει]γούσης τὸν ἄνθρωπον, φανερὰν μου τὴν γνώ[μην
ἤ]δη πεποίηκα καὶ κατέστησα. τέλος δὲ τῶν βιωτικῶν τυρβασμάτων
ἐκθέμην φρεσὶν τὴν παροῦσαν μου διαθήκην τάδε διεξιοῦτο καὶ εἴ
τι μὲν πέπονθεν περὶ τοῦ βίου, καὶ ὅπως παρηκολούθησέν μοι.
γυναικὶ νομίμῳ συνήφθην τῇ γνησίᾳ θυγατρὶ Παγκρατίου <τοῦ>
71 об. Σαλαφούντα, μετ' ἐ|πιδόσεως προικός. καὶ ἐτέκομεν παῖδας τρεῖς
καὶ πρὸς κύριον ἐξεδήμησαν καλῶς καὶ θεαρέστως βιώσαντες.
<καὶ> ἐν εἰρήνῃ ἐκοιμήθη καὶ ἡ σύμβιός μου, καὶ ἐν ὑστέρῳ καιρῷ
ἐτελεύτησαν οἱ γονεῖς μου καὶ τὰ ἀδέλφιά μου, καὶ ἐπέμεινα ἐγὼ
μόνος. αὖθις δὲ ἐγὼ εἰς ἐμαυτὸν ἐλθὼν καὶ ἀναζωσάμενος τὸ
κρεῖττον ἐπροσ(έδρα)μον καὶ ἔλαβον τὸ ἅγιον καὶ ἀγγελικὸν σχῆμα.
καὶ ἡ μία ἀδελφή μου ἡρπάγην ὑπὸ τῶν ἀθέων Ἀγαρηνῶν καὶ
ἔλειψεν χρόνους ἱκανούς. εὐδοκοῦντος δὲ θεοῦ καὶ μὲ τὴν εὐχὴν
τῶν γονέων μου εὑρέθη καὶ ἔπεσεν εἰς τιμὴν εἰς ἄσπρα ων'. καὶ οὔτε
αἰχμαλωτικὸν ἔσυρα οὔτε γονικὸν ἐπώλησα οὔτε ἄλλον τίποτε. ἀμὴ
ἔπεσον εἰς φιλοθέους (καὶ) εἰς πνευματικούς μου καὶ ἐπεξένικά την
καὶ δέδωκα <αὐ>τὴν νόμιμον ἄνδρα τοῦ Ζιγανίτου τὸν υἱόν, καὶ | (ἀπέ)-
72 л. θανεν. ἦλθεν δὲ καὶ εἰς δεύτερον ἄνδρισμαν, καὶ μετὰ ἐπιδόσεως
προικός, πάλιν εὐδοκοῦντος θεοῦ, δέδωκα αὐτὴν νόμιμον ἄνδρα, καὶ
τὸ εἴ τι διὰ συμφωνίας ἐστοιχήθη παρ' ἡμῶν ἀπεξέβαλον. αὖθις δ'
ἐγὼ μὴ ἀμελήσας προσεκατέφυγον τῇ ἁγίᾳ μονῇ τοῦ τιμίου Προ-
δρόμου τοῦ ἐν τῷ ὄρει καὶ ἐπ' ὀνόματι Ζαβουλῶν. ἐξεθέμην διατατ-
τόμενος, καθὼς ἔθος ἐστίν, (καὶ) περὶ τῶν παρευρεθέντων μοι κτημά-
των. ἕκαστον ἀφώρισα ὅπου μοι πρόσεστι θέλημα. ἐποίησα δὲ αὐτὸν
τὸν τίμιον Πρόδρομον κληρονόμον εἰς τὰ ἀκίνητά μου (γονικὰ) καὶ
κτήματα πρὸς μνημόσυνον τῆς ἁμαρτωλῆς μου ψυχῆς, ἅπερ εἰσὶν
ἀπὸ τοῦ Μέξυλα ἕως εἰς τὴν Παπάρουζαν ἀπὸ ὅρου καὶ ποταμοῦ
κήπου καὶ δένδρου, χερσαίων καὶ λιβαδίων, ὅπου ἄρα καὶ εἰσίν, (νὰ
72 об. τ)ὰ ἔχῃ ἡ μονὴ εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς |χρόνους. καὶ οὐκ ἔχει
ἄδειάν τις ἐκ τοῦ μέρους μου ὀχλείειν τὴν αὐτὴν μονὴν ἕνεκεν τῶν
τοιούτων τοπίων. ὁ δὲ βουλόμενος ἐνοχλεῖν αὐτὴν ἐχέτω τὰς ἀρὰς
τῶν τιη' θεοφόρων πατέρων καὶ αὐτὸν τὸν τίμιον Πρόδρομον ἀντί-
μαχον. +

κατὰ μαρτυρίας τῶν ἐκεῖσε τυχόντων Ἰωαννικίου ἱερομονάχου τοῦ Τερμώνη· καὶ Εὐθυμίου ἱερομονάχου ‹τοῦ φουτζανᾶ›· καὶ ἑτέρων πολλῶν.

+ ὁμοίως καὶ ἐγὼ Θεοδώρητος ἔγραψα καὶ ὑπέγραψα.

6, 7, 8 заключенное в прямые скобки наведено рукой реставратора по выцветшему тексту 8 *[ἀπα]γούσης* прочитано, реставратором. 10 *διεξιοῦτο* получилось из неправильно прочитанного писцом *διεξιοῦσαν*. 10—11, 27 *εἶ τι]ῆτοι* ркп. 29—30 *διαττατόμενος* ркп. 37 *ὀχλείην* ркп.

108. Второй полов. XIII века; лл. 72 об. — 74 об.

+ Καὶ τοῦτα εἰσὶν τὰ κομάτια τοῦ Σαπούα καὶ τὰ ἕτερα τῆς μονῆς ἀπὸ τοῦ Μέξυλα ἕως εἰς τὴν Παπάρουζαν.

κομάτιν τοῦ Σαγμαρᾶ εἰς τοῦ Τζαμουχίου.

κομάτιν τοῦ Μουκάπ(α) εἰς τοῦ Τζαμουχίου.

κομάτιν τὸ μεσαῖον, τὸ ἔχει ἡ μονὴ ἀπὸ τὸν Χάζαρον.

χωράφιον τὸ Θελητέσιν, τὸ ἔχει ἀπὸ τοὺς Πολεμάρχους.

χωράφιον τὸ Θελητέσιν ἀπὸ τὸν Καρπέτην.

χωράφιον τοῦ Σαπούα εἰς τὸ Θελητέσιν ψωμιαρῶν δύο, κοινὸν μὲ τὸν Τζαρούαν.

καὶ ἄνωθεν εἰς τὸν Μέγαν Λίθον πεκούλιν τοῦ | Τζαλιμοῦ ψωμιαρ(οῦ) ἑνός. 73 л.

εἰς τὰ Χαλία ψωμιαρ(οῦ) ἑνός.

τὸ ἀπάκιν τοῦ ὀσπιτίου μου· καὶ ὁ κῆπος τὸ κάθεν τοῦ ἀπακίου μου.

χωράφιον τὸ ἐναύλιν εἰς τὸ Λευτοκάρην καὶ κάτω ψωμιαρῶν ζ' μεγάλων.

τὸ ἀλώνην μου εἰς τὸν Σύλον.

καὶ κομάτιν ψωμιαρῶν δύο μεγάλων.

εἰς τὰ Ἀχυρονοέδρια ψωμιαρῶν τεσσάρων, κοινὸν μὲ τὸν Τζαρούαν.

ἕτερον χωράφιον εἰς τὸ Λαγ(ου)διονίσκην.

ἕτερον χωράφιον εἰς τὸ Λευτοκάρην ἄνωθεν.

καὶ εἰς τὸ Σπελιδίσκην κομάτιν τὸ ἠγόρασα ἀπὸ τὴν Ἀγνὴν σὺν τὴν ἕδραν καὶ τὸν κῆπον.

καὶ εἰς τὸ (Β)ουνὴν χωράφην.

εἰς τὴν Ματζιλέριξαν ἐναύλιν (σὺν) τὸ ἔχω ἀπὸ τὸν Κόνταριν χοινικὸς μεγάλου σὺν τὰ καρύδια.

εἰς Σαντουμᾶν ὅπερ καὶ ἐπιλαχάνει με ἀπὸ τὰ τέσσαρα τὸ ἕν, τὸ Καλιγαρέσιν.

εἰς τὸ Ἀνωχώ(ρ)ιν τὸ Κονκέσιν σὺν τὰ δένδρη.

εἰς τὸ Λαζέσιν ἀναμησίως μετὰ τοῦ παπᾶ Φωκᾶ τόπον ψωμιαρῶν τεσσάρων.

73 об. ἐκεῖ καὶ | καρύδια τέσσαρα καὶ μῆλα δύο καὶ λυτράπια β'.

εἰς τὸ Κονκέσιν ψωμιαρῶν δύο πεκούλιν.

εἰς Μάζηλα ἀπὸ τοῦ (Χαψᾶ) τὸ σύνορον καὶ ἄνωθεν ἀπὸ τὰ τέσσαρα τὸ ἕν, τὸ Καλι(γαρέσιν).

εἰς τῶν Τζουκαλάντων τὸ ἐναύλιν ἐντὸς χοινικὸς μεγάλου πεκούλιν.

εἰς Μαραχέντουμαν τὸ ὀσπιτοέδρι μου σὺν τὸ ἀλώνιν τό(πος) ἐκεῖ ἑπτὰ μοδίων μεγάλων.

εἰς τὴν Κουσερὰν κάτωθεν.

(εἰς) τὴν Σατανένιξαν δι' ἀνατολῆς ἔχω ἀπὸ τὸν Τζιμιρούκην ψωμιαρῶν δύο καλογηριάτικον.

ἕτερον δὲ πάλιν αὐτοῦ γυναίκειόν μου Ζιγανιτέσιν ψωμιαρῶν τριῶν.

(εἰς τὸ) Κοντέσιν αὐτοῦ ψωμιαρῶν τριῶν μεγάλων.

ἕτερον (εἰς) τὸ Λεγνάκιν ψωμιαρῶν τεσσάρων μεγάλων Ζιγανιτέσιν.

(εἰς) τὸ Κεραμιγύστεγον ψωμιαρῶν δέκα μεγάλων γυναίκειόν μου.

ἕτερον ἐναύλιν τὸ λεγόμενον Σκαλήν, τὸ ἀν(όχυ)ρον τοῦ Σαλαφούντα γυναίκειόν μου.

τὸ Κουτρουπελέσιν εἰς Κουσερὰν ἀνεμησίως.

74 л. ἕτερον τὸ Ζιγανιτέσιν | τὸ ἐναύλιν ἀγορασίαν μου ψωμιαρῶν δ' μεγάλων.

εἰς τὸ Κα(λα)τέσιν τὸ ἐναύλιν ψωμιαρὸς ἑνός.

εἰς τὸ Καμινίσκην ψωμιαρῶν δύο.

καὶ εἰς τὸ Ποταμιδίσκην ψωμιαρῶν δύο μεγάλων.

καὶ τὸ λιβάδην ψωμιαρῶν δύο καὶ πέντε ἀπίδια καὶ γ' καρύδια καὶ οἱ δύο μου κῆποι καὶ τὰ ἕτερα, ὅπου με καὶ διαφέρουν.

ἐν τῇ στάσει τοῦ Ἀγριδίου κάτωθεν τοῦ Ἁγίου Ἰωάννου χωράφην.

καὶ εἰς τὸ Μέγα Σπήλ(αιον) ἄνωθεν εἰς τὰ χυμολίβαδα λβ' ἀπίδια καὶ εἴκοσι μοδίων λιβάδην.

εἰς Παπαρὰν εἰς τὸ Κοτυλὴν ἀγορασίαν μου μοδίων μεγάλων ιβ'.

| εἰς τὴν μοιρασίαν ἔδωκα βόδην καὶ ἄσπρα κ'. 74 об.

καὶ εἰς Παπάρουζαν τὸ λεγόμενον Ὀστρικέσιν τὸ μέγα χωράφιον σὺν τὰ γυναίκειά μου.

ἕτερον χωράφιν εἰς τοῦ Χαμουρίου εἰς τὴν Χαντζόην ψωμιαρῶν τριῶν.

καὶ ἀλλαχοῦ ὅπου καὶ εὑρεθῶσιν, ἵνα εἰσὶ τῆς μονῆς.

1—3 сравн. **107** 33—34. 4 сравн. **27**. 5 сравн. **28**. 6 сравн. **31**. 7 сравн. **25**. 8 сравн. **26**. 24—25 сравн. **17**. 48 сравн. **17**. 71 сравн. **107** 35—36. 55—72 на л. 74, который вставлен реставратором.

109. 6923/1415 г., ‹инд. 8›, июля 24; лл. 75 л.—об.

| Σίγνον	*Παύλου*	*Σίγνον*	*(.....)*	75 л.
τοῦ Σού	*του·*	*τοῦ Φρυ*	*γάνου.*	

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

ἡμεῖς οἱ ἄνωθεν οἰκειοχείρως τοὺς σταυροὺς ἡμῶν ἐγχαράξαντες, μετὰ τῶν ἀδελφῶν καὶ ἀνεψιῶν ἡμῶν, μετὰ βουλῆς καὶ θελήσεως τῶν ὅλων, καὶ οὐκ ἔκ τινος βίας ἢ ἀνάγκης, ἀλλὰ μετὰ ὁλοψύχου γνώμης δίδομεν διὰ τὴν ψυχὴν ἡμῶν καὶ τῶν γονέων ἡμῶν διὰ τὰ γονικὰ τὰ Ζημονιτέσια ἐν τῇ μονῇ τοῦ τιμίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου τοῦ Ζαβουλῶν καπάλιν ἀνενκρατήτως καὶ ἀκαθυστερήτως τὸν καθέκαστον χρόνον φάβατον ψωμιαρῶν β'. ὀφείλετε δὲ ἔστιν καὶ παρὰ τῶν μοναχῶν ἀνώδυνοι καὶ ἀτάραχοι, μὴ ὀχλειούμενοι ὑπό τινος. αὐτὸ τὸ καπάλιν ἔσται εἰς τὴν μονὴν ἀνεγκράτητον.

| ἔτους ͵ςϠκγ' μηνὶ ἰουλίῳ εἰς τὰς κδ'. 75 об.

κατὰ μαρτυρίας Βλασίου ἱερομονάχου τοῦ Φαργάν(ου)· Σεβαστοῦ τοῦ Μελιάνου· Βασιλείου τοῦ Σαπούα· Κώνστα τοῦ Ζαχαριοπούλου. +

110. Второй полов. XIII века; лл. 75 об. — 76 л.

Σίγνον	Ἰωαννάκη
τοῦ Ζι	γανίτα

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.
‹ἐγὼ› Ἰωαννάκης ὁ Ζιγανίτ(ας) ‹ὁ› οἰκειοχείρως τὸν τοιοῦτον
σταυρὸν ἐγχαράξας, ἐλθόντος μου εἰς τὴν θείαν μονὴν τοῦ τιμίου
Προδρόμου τοῦ ἐν τῷ Βαζελῷ καὶ ἰδὼν τὸ θεάρεστον ἔργον τὸ ἐν
αὐτῷ τῷ τόπῳ γεγονώς, ζῆλος καὶ ἔρος πνευματικὸς καὶ θελήσει
καὶ γνώμῃ μου ὁλοψύχῳ ὑπὲρ μνημοσύνου τῆς ταπεινῆς μου ψυχῆς
ἐδεήθην τοῖς μοναχοῖς τοῦ γραφῆναι με ἐν τῷ ἁγίῳ διπτυχαρίῳ.
καὶ τῆς αἰτήσεώς μου πληρώσαντες κἀγὼ εἰς μικρὰν αὐτῶν παρη-
76 л. γορίαν δέδωκα πρὸς τὴν μονὴν γῆν ἔμ|φορον σίτου σπορὰν μοδίου
ἑνὸς εἰς τὸ Παλαιαλάτην. καὶ οὐκ ἔχει ἄδειαν ἐκ τοῦ μέρους μου
τὶς ὀχλῆσαι τὴν μονὴν ἕνεκεν τῆς τοιαύτης γῆς.

111. 6762/1254 г., ‹инд. 12›, июль; л. 76 л. — об.

Σίγνον	Νικηφόρου
τοῦ Κά	ναρι.

+ Τοῦτο τὸ ἀγαθὸν καὶ θεάρεστον ἔργον κἀγὼ Νικηφόρος ὁ
Κάναρις εἰδώς, καὶ ζηλώσας αὐτό, ὑπὲρ μνημοσύνου ἐμοῦ τε καὶ
τῶν γονέων μου δέδωκα εἰς τὴν μονὴν ἐν τῷ Πελαγίῳ καὶ συνεγγὺς
τοῦ χωραφίου, οὗ ἐδωρήσατο ὁ Ζιγανίτας, γῆν χοινικῶν δύο, τὰ
διαφέρων‹τά› μοι ἐκ τῆς συμβίου μου. καὶ οὐκ ὠφείλει τις τῶν
παίδων καὶ κληρονόμων μου ὀχλῆσαι τὸ μέρος τῆς μονῆς ἕνεκεν
τοῦ τοιούτου χωραφίου. ὁ δὲ τοῦτο βουλόμενος ἂς ἔχῃ τὸ ἀνάθεμαν
καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ τὴν ἀράν.
παρρησίᾳ τῶν τυχόντων μαρτύρων Λέοντος τοῦ Ζιγανίτ(α)· καὶ
76 об. Βασιλείου τοῦ Σαπούα· καὶ στρατιώτου Θεοδώρου τοῦ Σαπούα· | καὶ
Λέοντος τοῦ Βουβαλᾶ.
μηνὶ ἰουλίῳ ἔτους ,ςψξβ'.

112. Второй полов. XIII века; л. 76 об. — 77 л.

Σίγνον | Κωνσταντίνου

τοῦ Κο | τέρτζη·

✠ Κἀγὼ Κωνσταντῖνος ὁ Κοτέρτζης, ὁ ἐκ χώρας Χαλδίας χωρίον Ζουρμούδας, ἐν ἀσθενείᾳ σωματικῇ περιπεσὼν καὶ φοβηθεὶς τὸ ἀόρατον καὶ ἀπαραίτητον τοῦ θανάτου μυστήριον, προσεκαλεσάμην ἀνθρώπους ἀξιοπίστους, τὸν πνευματικόν μου πατέρα κυρ(ὸν) Θεοδώρητον ἱερομόναχον καὶ καθηγούμενον τοῦ τιμίου Προδρόμου τοῦ Ζαβουλῶν καὶ ἑτέρους γέροντας, καὶ ἐποίησα διαθήκην περὶ τῆς ψυχῆς μου, ὅτι τινὰν τίποτε οὐ χρεωστῶ οὔτε ἄλλος ἐμέν. διατάσσομαι δὲ τὸ γονικόν μου. ἀφίημι εἰς τὴν μονὴν γῆν κομάτια β', τὸ μὲν ἓν εἰς τὴν Ποταμίαν χοινικὸς μεγάλου ἑνὸς τραπεζουντικοῦ, τὸ δὲ ἕτερον τὸ Ἀπιώνην καὶ αὐτὸ πάλιν χοινικὸς μεγάλου μονοκόματον. πλὴν ἓν κομάτιν κεῖται πέραν τοῦ | αὐλακίου. καὶ τὸ 77 л. κομάτην τὸ Νυσσὴν ἂς ἔχῃ ὁ Μαρκιανός, διότι καὶ πρώην ἤθελεν αὐτὸ ὡς μιτικαριώνην. τὰ ἕτερα πάντα, ἤγουν ἡ νομὴ τοῦ γονικοῦ μοῦ, ὀφείλει διαταχθῆναι αὐτὰ ὁ Μαρκιανὸς εἰς τοὺς κληρονόμους μου, καθὼς ἔσται ἡ συνήθεια εἰς τὴν χώραν ἡμῶν. καὶ εἴ τις βουληθῇ ἀνατρέψαι τὴν παροῦσαν μου διαθήκην, νὰ ἔχῃ τὰς ἀρὰς τῶν τιη' θεοφόρων πατέρων ἡμῶν καὶ τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως. ✠

113. Конца XIII века, л. 77 л. — об.

Σίγνον | Φωκᾶ ἱερέως

τοῦ Τορ | νάρη·

✠ Εἰς τὸ ὄνομαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ Φωκᾶς ἱερεὺς ὁ Τορνάρης ἔδωκα εἰς τὴν μονὴν τοῦ Προδρόμου τοῦ Ζαβουλὼν ἕνεκα ψυχικῆς μου σωτηρίας ἐν τῇ στάσει τοῦ Γερνάρη, ἤτοι ἡ Πουτύλα, τόπον τραχχ. ιη' ἡμ., το ἀκρόστιχόν μου, ὅπου καὶ εὑρεθῇ ἐν τῇ αὐτῇ στάσει. καὶ ὁ βουλόμενος ἐκσπάσαι αὐτὸ ἐκ τῆς μονῆς, | ἵνα ἔχῃ τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως. 77 об. κατὰ μαρτυρίας Μιχαὴλ τοῦ Χοντροῦ· καὶ Θεοδώρου τοῦ Ζιγανίτ(α)· καὶ ἑτέρων πολλῶν.

*

114. Конца XIII века; л. 77 об.

Σίγνον	Μαρίας τῆς
Φωμια	ρόπουλος.

✢ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ Μαρία ἡ Φωμιαρόπουλος ἔδωκα εἰς τὸν τίμιον Πρόδρομον τοῦ Ζαβουλὼν χωραφοτόπιν εἰς τοῦ Δάβαρι τὸ ἐπιλεγόμενον τοῦ Σταυρακίου, ὡς ἀποσυνορεῖ τὸν Μακλᾶν σὺν τὰ δύο δένδρη εἰς τὴν ποδέαν καρύδ(ιν) καὶ ἄνωθεν μῆλον. καὶ οἷος ἐμποδίζει τὸ παρὸν μνημόσυνόν μου, ἵνα λαμβάνει τὴν ἀπόφασιν τοῦ προδότου Ἰούδα, ἐχέτω δὲ καὶ τὸν Πρόδρομον ἀντίμαχον.

κατὰ μαρτυρίας Θεοδώρου ἱερέως τοῦ Μουτζάνη· καὶ Γεωργίου τοῦ Ἀλεξοπούλου.

115. 6800/1292 г., <инд. 5>, февраль; лл. 77 об.—79 об.; изд. П.-К., 83—84 № 17.

Σίγνον	παπᾶ Νικηφόρου
τοῦ Κρο	μύδη

Σίγνον Εἰρήνης	τῆς συμ-
βίου	αὐτοῦ

78 л. | ✢ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ παπᾶ Νικηφόρος ὁ Κρωμίδης δίδω τὰ γονικά μου εἰς τὸν τίμιον Πρόδρομον τὸν ἐπονομαζόμενον Ζαβουλῶν μετὰ τὴν προτροπὴν καὶ θέλησιν τῆς συμβίου μου.

εἰς τὴν Κουνάκαλιν ἀπὸ ὅρου καὶ ποταμοῦ τὰ Παχνέσια.

καὶ εἰς τὴν Ποντύλαν ὅσα με ἐπιλαγχάνουν Πυροκοστέσια.

καὶ εἰς ἄσπρα κ' ἔχω ἀγορὰν ἀπὸ τὸν Γενακόπουλον τὸν Ῥωμανόν.

καὶ ἀπὸ τὸν Βάραγκον τὸν Κώνσταν μοδίων δύο.

εἰς τοῦ Ἀδολίου ἕτερον χοινικῶν δ'.

εἰς τὴν Κρένασαν ἀπὸ Λέων τὸν Χαψᾶν τὸν Μαργαριταρόπουλον μοδίων δύο.

καὶ εἰς τὸ Ἀπιόνην ἀγορὰν ἀπὸ τὸν Κοτνίκην τὸν Σισίνην τόπον μοδίων γ'.

καὶ εἰς τὴν Ποταμίαν ἀγορασίαν μοδίων γ',

καὶ εἰς τὸν Ἅγιον Ἠλίαν κάτωθεν μοδίων β',

καὶ ἄνωθεν τοῦ Ἁγίου Ἠλία μοδίων γ'.

εἰς τὸ Ῥαχὴν εἰς τὴν Παλαιοαυλέαν μοδίων δ'.

ἔχω καὶ ἀ|πὸ τὸν Φουρνουτζιώτην καὶ ἀπὸ τοὺς Γουσμανάντας 78 об.
καὶ ἀπὸ τὸν Σαπούαν ἀγορὰν τόπον μοδίων ε' ἀπὸ ὅρου καὶ ποταμοῦ.

ἔχω καὶ εἰς τοῦ Παύλου ἄνωθεν εἰς τὸ Ραχὴν τόπον μοδίων γ'.

ἔχω ἀπὸ τὴν Μουλάτζεναν τὸν κῆπον σὺν τὸ καρύδην.

καὶ ἀπὸ τὸν Ῥοντοϊωάννην καὶ ἀπὸ τὴν Μανπλανίναν τὴν Καλάναν τεσσάρων μοδίων τόπον.

ἔχω καὶ ἀπὸ τὸν Κωνσταντῖνον τὸν Ματζουκαΐτην τόπον χοινικῶν δ'.

ἔχω καὶ τόπον μοδίων γ' εἰς τὰ Λαζόμυλα.

καὶ ἀπὸ τὸν Βασίκαν χοινικῶν τεσσάρων εἰς τοῦ Φουρνουτζιώτα τὸ ἀλώνην Καίσου.

καὶ ἕτερον κομάτιν εἰς τὴν Παλαιοαυλέαν, τὸ κάμνει Ἰωάννης ὁ Ἐπιφάνης.

[καὶ] ἕτερον κομάτιν, τὸ κάμνει Θεόδωρος ὁ Φλίντζης.

ἕτερον κομάτιν, τὸ κάμνει ὁ Γουσμάνων, τὴν Τρικοινωνίαν.

εἰς τὴν Ποταμίαν πάλιν Νυσσήν.

καὶ ἕτερον κομάτιν τὸ Ἀπιώνην.

καὶ ἔνθεν ἄνω[θεν] πάλιν | εἰς τὴν Ποταμίαν κομάτιν. 79 л.

καὶ πέραν τοῦ ποταμίου κομάτην.

καὶ εἰς τὸν Ἄτζεπλον ἀπὸ τὸν Τζερτέβην μοδίου ἑνὸς καὶ τοῦ υἱοῦ αὐτοῦ μοδίων δύο,

καὶ εἰς τὸ Ῥαχὴν μοδίου ἑνός.

καὶ εἰς τοῦ Δάβαρι εἰς τὴν Ὀξέαν μοδίων δύο καὶ τὰ δενδριώνια.

καὶ αὐτοῦ εἰς τοῦ Δάβαρι γονικέσιά μου ἀπὸ ὅρου καὶ ποταμοῦ, λιβαδίων καὶ δένδρων.

καὶ εἰς τὸ Λευκιώνην λιβάδια ὅλα σὺν τὰ καματήφορα καὶ δένδρη.

καὶ τὰ Θονάρια εἰς τὰ Κεραμοκλάστια.

καὶ τοῦ Ὁρισκίου τὸ λιβάδιον.

εἰς τοῦ Κοχλίωνος γονικὸν ἀσπρῶν ρν'.

καὶ ἡ νομή μου ὅλη, ὅπου δ' ἂν καὶ εὑρεθῇ.

καὶ ταῦτα πάντα ἐπαρεδόθησαν εἰς τὸν τίμιον Πρόδρομον [τοῦ
Ζαβουλῶν] ἕνεκεν ψυχικῆς ἡμῶν σωτηρίας. καὶ ἐὰν ἀπὸ τοὺς παῖδάς
μου κανεὶς φαίνεται, ὀφείλει ἔχειν τὸ μερτικόν του καὶ τοῦ υἱοῦ μου
79 об. τοῦ Θεοδώρου ἀπὸ ὅρου καὶ ποταμοῦ σὺν | τὰς ἀγορασίας· καὶ τὰ
δενδριώνια, ἵνα εἶναι τοῦ τιμίου Προδρόμου. καὶ ὅστις παρεμποδίζει αὐτὴν τὴν μονήν, νὰ ἔχῃ τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως καὶ ἡ μερὶς αὐτοῦ [νὰ ἦναι] μετὰ τῶν σταυρωσάντων τὸν Χριστόν.

ἥτις ἐγράφη παρρησίᾳ τῶν γερόντων τῆς χώρας· καὶ ἡ ὑπογραφὴ κυροῦ Θεοδώρου τοῦ Σατρίκη καὶ ἑτέρων πολλῶν.

μηνὶ φευρουαρίῳ ἔτους ,ϛω'.

4 Κρομμύδης П.-К. 5 τὸν ἐπονομαζόμενον] τοῦ П.-К. 6 συμβίας П.-К. 8 με проп. П.-К. 9 Γιαινακόπουλος П.-К. 13 τὴν проп. П.-К. 15 Κατιώνην П.-К. 15 Σισίννην П.-К. 20 Παλαιομηλαίαν П.-К. 21 καὶ ἀπὸ τὸν Φουρνουτζιώτην καὶ ἀπὸ τοὺς Γουσμανάντας проп. П.-К. 22 τόπου П.-К. 24 καὶ проп. П.-К. 24 τὸν Παῦλον П.-К. 24 'Ραχὴν] βουνὸν П.-К. 25 τὸ]τῷ П.-К. 26 'Ροντοϊωάννην и у П.-К., должно быть Κοντοϊωάννην, соответствующее 'Ιωάννην τὸν Κοῦτόν (сравн. 19). 26 Μαμπλανίναν П.-К. 27 τόπον μοδίων δ' П.-К. 28 Κώνσταν τὸν Ματζουκάτην П.-К. 31 Φουρνιτζιώτα П.-К. 32 Καίσου] κοντὰ <καὶ ἕτερον> П.-К. 33 Παλαιομηλαίαν П.-К. 35 Φλύντζης П.-К. 37 νησίν П.-К. 40 ποταμοῦ П.-К. 41 τὴν Ἄντζεπλον П.-К. 43 'Ραχὴν] βουνὸν П.-К. 44 δεδριώνια П.-К. 47 καμματόφορα П.-К. 49 Κεραμοκλώστια П.-К. 50 'Ορισμοῦ П.-К. 51 Κουλλίωνος П.-К. 51 γονικῶν ркп.; γονικὸν ἄσπρα П.-К. 52 δ' ἂν καὶ]καὶ ἂν П.-К. 53 ταῦτα]αὐτὰ П.-К. 57 τιμίου проп. П.-К. 59 αὐτοῦ]του П.-К. 61 ἥτις ἐγράφη]ἐγράφη ἡ παροῦσά μου γραφὴ П.-К. 62 Σατράκη П.-К.

116. Около 6778/1270 г.; л. 79 об. — 80 л.

Σίγνον	'Ανδρονίκου
τοῦ 'Ρω	μανοπούλου·

+ 'Εγὼ 'Ανδρόνικος ὁ 'Ρωμανόπουλος ἐπροσῆλθον εἰς τὴν μονὴν τὸ ἐπονομαζόμενον Ζαβουλῶν· <καὶ> ἰδίᾳ μου βουλῇ καὶ προαιρέσει ὑπὲρ μνημοσύνου ἐμοῦ τε καὶ τῶν γονέων καὶ συγγενῶν μου ἔδωκα τὰ γονικά μου, τὰ ἅπερ διαφέρουν με.

εἰς τοῦ Τριβολίχτα τὴν στάσιν τραχχ. γ'.

ἀπὸ Ποντύλαν Θεόδωρος ὁ Ῥωμανόπουλος τραχχ. β' ἥμ.
ἡ μερὶς ἑτέρου | Θεοδώρου τοῦ Ῥωμανοπούλου τραχ. ἥμ. 80 л.
ἡ μερὶς τῶν παίδων Θεοδώρου τοῦ Ῥωμανοπούλου τραχ. α'.
ἡ μερὶς Ἰωαννικίου μοναχοῦ τοῦ Παπαδοπούλου τραχχ. ι'.
ἡ μερὶς Γεωργίου τοῦ Ῥωμανοπούλου τραχχ. ε'.
Κωνσταντίνου ἱερέως τοῦ Ῥωμανοπούλου τραχχ. β'.
ἐν τῷ Βαξελῷ ὁμοῦ νόμ. α' καὶ τραχ. ἥμ.

ὑπὲρ ψυχικῆς σωτηρίας ἐμοῦ τε καὶ τῶν γονέων μου καὶ τῶν συγγενῶν μου. καὶ οἷος ἀνατρέψει τὸν λόγον μου, ἂς ἔχῃ τὰς ἀρὰς τῶν τιη' θεοφόρων πατέρων καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα. καὶ πάλιν ἡ γραφή μου ἐχέτω τὸ στέργον καὶ βέβαιον.

κατὰ μαρτυρίας Μιχαὴλ τοῦ Κασινπουρη.

καὶ πράκτωρες βασιλικοὶ ὁ Τεμέντελης καὶ οἱ ἕτεροι.

7 должно быть *Τριγολίκτου.* 20 при ὁ *Τεμέντελης* проп. имя, как и в **36.** Вероятно, М. Касинпур по недоразумению переписчика не попал рядом с Темен-телом, а имена свидетелей совсем пропали.

117. Второй полов. XIII века; л. 80 л. — об.

✛ *Καθὼς προσῆλθεν ὁ ἡγούμενος ὁ Βαξελιώτης Θεόδωρος ἱερομόναχος εἰς τὴν μνήμην τοῦ μεγάλου Γεωργίου καὶ ἤφερεν τοπικοὺς γέροντας καὶ ὥρκισέν τους εἰς τὴν ψυχὴν αὐτῶν, καὶ εἶπαν τὴν ἀλήθειαν, ὅτι ὁ τόπος ἔ|νι τοῦ μοναστηρίου τοῦ Ζα-* 80 об.
βουλοῦ· τὰ δύο μερτικὰ καὶ τὸ ἔναντι τοῦ ἁγίου Εὐγενίου. καὶ αὐτὸν τὸν τόπον Ἰωάννης ὁ Μουκάπας ἔδωκεν εἰς τὸν τίμιον Πρόδρομον. ἡ ἐπωνυμία δὲ τοῦ τόπου λέγεται τὰ Ἐπίκοπρα, φθάνει δὲ ἡ κατασπορὰ ψωμιαρῶν μεγάλων γ'.

κατὰ μαρτυρίας τῶν ἐκεῖσε τυχόντων Ἰωαννάκη ἱερέως τοῦ Μάπα· Ἀνδρέου ἱερέως τοῦ Χοντραλέστου· Κυριαζῇ τοῦ Μουγαλτᾶ καὶ Θωμᾶ <*τοῦ* . . . . . >.

118. Второй полов. XIII века; лл. 80 об., 83 л.

✛ *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.*

ἐγὼ Καλάνα ἡ Σπελιανιτόπουλος ἐν ἀσθενείᾳ δεινῇ συσχεθεὶς καὶ φοβηθεὶς τὸ τοῦ θανάτου μυστήριον ἐποίησα διάταξιν περὶ τῆς ψυχῆς μου καὶ περὶ παντοίου πράγματος, ἅπερ μοι ἐδωρήσατο ὁ θεός.

τὸ χαλκόν μου ἂς ἔνι ἐπιτάφιν μου.

ἀφίημι τὰ σχουλαρίκιά μου τὴν Εἰρήνην, τοῦ Λαζάρου τὸ κορίτζιν.

ἀφίημι καὶ τὸν σύμβιόν μου κτῆνος ἕναν καὶ εἰς τὰ Κελλία τὸ 83 л. | χωράφιν, τὸ λαγχάνει με.

ἂς ἔχουν τὰ ἀδέλφιά μου τὸ Χαλάτζη καὶ τῆς Εὐφημίας τὰ παιδία.

καὶ τῆς Θέρισας τὸ ἐπανωσάρπην ἂς ἔνι τῆς Ἀγριδιοτάβας.

καὶ τὸ χωράφιν, τὸ ἔχω εἰς τὸν Κακοτίναγον, καὶ τὸ χαλκοπούλην μου ἂς εἶναι τοῦ καλογήρου μου.

καὶ τὰ ἕτερα εἴ τι κἂν καὶ ἔχω γονικόν, κἄν τε κτῆμα, ἀπὸ ὅρου, κήπου, δένδρου καὶ ποταμοῦ, λιβαδίων, κινητῶν καὶ ἀκινήτων, ἂς εἶναι εἰς τὴν μονὴν τοῦ γωναίου καὶ πατρός μου τοῦ Σπανοπούλου, καὶ ἂς ἔνι ἐπίτροπος εἰς τὴν ψυχήν μου.

(. . . . .). καὶ ὕνην καὶ ἑλίκτριν καὶ δύο δρέπανα ἂς εἶναι καὶ ἐκεῖνα εἰς τὴν μονήν.

παρρησίᾳ Μιχαὴλ ἱερέως τοῦ Μαστερήτου· Ἰωαννικίου ἱερέως τοῦ Σάπ(α)· Κωνσταντίνου ἱερέως τοῦ Χαμούρη.

✠ ὁ γραφεὺς τοῦ ὕφους καὶ πνευματικὸς πατὴρ αὐτῆς Θεόδωρος ἱερεύς, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραψ(α). ✠

16 εἴ τιλήτοι ркп. 19—20 после μου оставлено писцом место на 15 букв. 20 ἴνην ркп.. 20 ἐλίκτριν ркп.

119. Второй полов. XIII века; л. 83 об.

83 об. | ✠ Τοῦ παιδίου μου τοῦ παπᾶ Θεοδώρου ὁ υἱός, καὶ ὁ Θεόδωρος τοῦ υἱοῦ μου, τὸ γονικον μου εἰς ἥμυσι σὺν τὰ κτίσματα καὶ τὴν χαμαιλέτην, τἄλλα μου τὰ παιδία οὐκ ἐμετέχουν ἐκεῖ.

τὸ σαρπὴν τῆς Σαχνόης ἀφῆκα τὸν παπᾶν Θεόδωρον καὶ ἔψαλλέ με τεσσαρακοστά, καὶ κανεὶς μὴ τὸν ὀχλεῖ ἀπὸ τὰ παιδία μου.

καὶ εἰς τοῦ Κούντου, τὸ ἐξέβαλα ἀπὸ τὸν Χαζούρην, ἂς ἔνι τοῦ καλογήρου μου.

τὸ Γαβάθὴν τὸ χωράφιν ἀφίνω εἰς τὸν Ζαβουλὼν χοινικῶν τεσσάρων.

τὴν Καμασίαν, τὸ λαχάνει με, ἂς ζῶ τρώγω το· εἰ δὲ ἀποθάνω, ἂς ἔνι εἰς τὸ Βαζελὸν ἐπιτάφην μου.

καὶ τοῦ ἁγίου ἐλέου-ἂς ἔνι ἡ ἔξοδος παντοίων εἰδῶν, εἴ τι με λαχάνει ἀπὸ τὴν ὕλην. +

2 вместо τοῦ υἱοῦ μου следовало бы, кажется, ожидать ὁ υἱός μου. 3 ἡ χαμαιλέτα на трапез. наречии (Иоаннид., λε') означает ὁ μῦλος. 3 τάλα ркп. 10 τρώγα ркп. 12 ἤτοι ркп.

120. (6875/1367 г.), инд. 5, июнь; лл. 83 об. — 84 об.; изд. П.-К., 80 № 5; перев. в комент. стр. LVIII — LIX.

+ Ἔγκλησιν ἔθετο πρὸς ἡμᾶς ὁ καθηγούμενος τῆς σεβασμίας καὶ ἁγίας μονῆς τοῦ τιμίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου τοῦ ἀπὸ ὄρους Ζαβουλῶν κυρ(οῦ) Νικο|δήμου ἱερομονάχου περὶ 84 л. τοπίων τινῶν ἐν τῷ χωρίῳ Χορτοκόπης παπᾶ Γεώργιον τὸν Ὁμοχωρίτην καὶ τὸν αὐτοῦ γαμβρὸν Γεώργιον τὸν Τζαρούαν καὶ Ἰωάννην τὸν Κουρὴν [διὰ] τὰ λωρία τὰ Ὁμοχωριτέσια. διὸ καὶ ἤλθομεν ἐπιτοπίως καὶ ἠφέραμεν τοὺς ἀμφοτέρους ἐνώπιον καὶ ἀξιοτίμων γερόντων καὶ εἴδομεν τὰ δικαιώματα καὶ τὸν κώδικα τῆς μονῆς καὶ ἐδήλειν καὶ ἐδικαίωσεν τὴν μονήν, καθὼς ἓν καὶ φαίνεται. οἱ δὲ ἀμφότεροι διάδικοι τίποτε δικαιώματα οὐδὲν εἴχασιν, εἰ μὴ μόνον λόγους κενά. καὶ ὡς εἴδομεν καὶ ἠκούσαμεν τὰς τοιαύτας ὑποθέσεις, αὐτοὺς ἀπεφλήσομεν, τὸν δὲ καθηγούμενον ἐδικαιώσαμεν καὶ ἐπαρεδώκαμεν τὰ ἄνωθεν γεγραμμένα δύο λωρία τὰ Ὁμοχωριτέσια εἰς τὸν αἰῶνα τὸν ἅπαντα, ὁμοίως καὶ εἰς τοῦ Χουλίωνος χωράφιν τὸ ἐπονομαζόμενον τὸ Κράνιν.|πάλιν ἐδικαιολογήθησαν καὶ περὶ 84 об. αὐτοῦ καὶ ἐδήλουν καὶ αὐτὸ εἰς τὸν κώδικα τοῦ μοναστηρίου. ἐπεφλήσωμεν καὶ αὐτοῦ τοὺς Ὁμοχωρίτας, τὸν δὲ καθηγούμενον ἐδικαιώσαμεν καὶ ἐπαρεδώκαμεν καὶ αὐτό. ἀπὸ τοῦ νῦν καὶ εἰς τοὺς ἑξῆς οὐκ ἔχουν αὐτοὶ ἄδειαν ἐνοχλῆσαι τὴν ἁγίαν μονὴν περὶ τῆς τοιαύτης ὑποθέσεως. εἰ δὲ καὶ βουληθῇ κανείς, πρόστιμον ὑποκείοεται δοῦναι ἄσπρα ,α'. καὶ πάλιν τὸ παρὸν ἡμῶν κρισιμόγραφον ἔστω στέργον καὶ βέβαιον.

κατὰ μαρτυρίας Παγκάλου τοῦ Ζούζηλα· καὶ Θεοδόση τοῦ Καθιστοῦ· καὶ Θεοδώρου τοῦ Παπαβασιλοπούλου· καὶ ἑτέρων πολλῶν.

μηνὶ ἰουνίῳ ἰνδικτιῶνος ε' ἔτους ,ςωοε'. +

+ ὁ δοῦλος τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Μεγά-

λου Κομνηνοῦ καὶ κριτὴς πάσης Ματζούκας καὶ ὀρφανοτρόφος Σεβαστὸς ὁ Πηλινᾶς. +

3 *κυρὸς Νικόδημος ἱερομόναχος* П.-К.; описка в р-си, вероятно, под влиянием предшествующих *τοῦ ἀπὸ ὄρους Ζαβουλῶν.* 9 *ἔν'* П.-К., очевидно, подразумевая *ἔνι.* 11 *λόγια* П.-К., очевидно, в согласии с *κενά.* 12 *ἀπεφλήσαμεν* П.-К. 17 *ἐπεφλήσαμεν* П.-К. 19 *τοὺς]τὸ* П.-К. 23 *Παγγάλου* П.-К. 23 *Θεοδόσῃ]Θεοδώρου* П.-К.

121. Конца XIV века, инд. 3, апрель; л. 85 л. — об.; изд. П.-К., 80 № 6.

85 л. | + *Ἐξ ὁρισμοῦ τοῦ αὐθέντου μας τοῦ βασιλέως, ἐμφανιζομένης τῆς παρούσης ἡμετέρας γραφῆς ὀφείλεις, τιμιώτατε καθηγούμενε τῆς σεβασμίας μονῆς τοῦ τιμίου Προδρόμου τοῦ Ζαβουλῶν, καθὼς διεκρίναμεν μὲ τοὺς τοπικοὺς γέροντας καὶ εἴδομεν καὶ τὰς γραφάς, ἅ<σ>περ ἔχεις, καὶ κατὰ τὴν περίληψιν αὐτῶν ἐδικαιώσαμέν σε καὶ παραδεδώκαμεν πρὸς τὴν τοιαύτην μονὴν τὸ χωραφοτόπιον, τὸ διακείμενον ἐν τῇ στάσει τῶν Γενακάντων πλησίον τοῦ Ἁγίου Θεοδώρου, ἵνα τὸ παραλάβῃς ἐπεξουσίως καὶ δεσπόζῃς καὶ νέμεσαι, καθὼς ἔχεις θέλημαν, νὰ τὸ ποιήσῃς. καὶ οἷος ἀθετήσει τὴν τοιαύτην γραφὴν καὶ ἐνοχλήσει σε ἢ παρεμποδίσει σε εἰς τὸ γεγονὸς τοιοῦτον γράμμα, πρόστιμον βασιλικὸν ἀποδώσει ἄσπρα φ'.*

τὸ δὲ παρὸν γράμμα γέγονεν εἰς ἐμφάνειαν καὶ ἀσφάλειαν μηνὶ ἀπριλλίῳ ἰνδικτιῶνος γ'.

85 об. + *ὁ δοῦλος τοῦ ἁγίου | ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Μεγάλου Κομνηνοῦ καὶ κριτὴς τῆς βασιλικῆς αὐλῆς καὶ πάσης Τραπεζοῦντος, ὁ εὐτελὴς οἰκονόμος τῆς μεγάλης ἐκκλησίας Γεώργιος ὁ Δωρανίτης.* +

Ἀλέξιος ὁ Καμαχηνός· Προκόπιος ὁ Χαντζάμης. +

5 *ἅ(σ)περ* П.-К. 8 *ἐπ' ἐξουσίαν* П.-К.

122. Конца XIV века, инд. 3, август; лл. 85 об. — 86 л.

Σίγνον παπᾶ	*Κωνσταντίνου*	*Σίγνον Παύλου*	*τοῦ Κα*
τοῦ Πο	*λίτου·*	*σκα*	*ρᾶ·*

Σίγνον	*Μιχαὴλ*
τοῦ ῾Αλι	*ευτῆ·*

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ Κωνσταντῖνος ἱερεὺς ὁ Πολίτης καὶ Παῦλος ὁ Κασκαρὰς καὶ Μιχαὴλ ὁ ῾Αλιευτὴς ἐδώκαμεν τὸν τόπον, τὸ ὅπερ ἔχομεν εἰς τὰ Καταλύσια πλησίον τῆς Θεοτόκου τὸ λεγόμενον Γοβάθην, τὸ ἀντίμοιρον τῆς ῾Αγίας Σοφίας, τὴν ἐπιλαχοῦσαν ἡμῖν μερίδα ἤγουν τῶν τριῶν λωρίων τὰς ἡμισείας. ὑπὲρ μνημοσύνου τῆς ψυχῆς ἡμῶν ἐδώκαμεν αὐτὰ εἰς τὴν μονὴν τοῦ Ζαβουλών. καὶ ὁ βουλόμενος | ὀχλῆσαι τὴν μονὴν ἕνεκα τῶν τοιούτων λωρίων ἐχέτω αὐτὸν ‹τὸν 86 л.
Πρόδρομον› ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως.
μηνὶ αὐγούστῳ ἰνδικτιῶνος γʹ.

123. 6923/1415 г., инд. 8, май; лл. 86 л. — 87 л.; изд. П.-К., 79 № 4.

Σίγνον	*Μαργαρίτας*		*Σίγνον Κα*	*λῆς τῆς*
τῆς Καλλι	*επόπουλος*		*ἀδελφῆς*	*αὐτῆς·*

Σίγνον	*Βασιλείου*
τοῦ Ἀν	*πρώβη·*

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. κἀγὼ Μαργαρίτα ἡ Καλιεπόπουλος, ἡ διὰ τοῦ ἀγγελικοῦ σχήματος ὕστερον μετονομασθεῖσα Μακρίνα μοναχή, μετὰ τῆς γνησίας μου ἀδελφῆς τῆς Καλῆς καὶ τοῦ ἀνευσιοῦ μου τοῦ υἱοῦ αὐτῆς ἐξ ἰδίας ἡμῶν βουλῆς καὶ θελήσεως καὶ μεμεριμνημένης βουλῆς τιθέμεθα καὶ ἀφιεροῦμεν τὰ γονικὰ ἡμῶν, ἅπερ ἔχομεν ἐν τῷ βάνδῳ τῆς Παλαιοματζούκας ἐν τῷ χωρίῳ τοῦ Τζεπτύλου καὶ ἀλλαχοῦ, ὅπου ‹ἂν› καὶ εὑρεθῇ ἡ νομὴ | ἡμῶν, ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ 86 л.
τιμίου Προδρόμου τοῦ Ζαβουλῶν ψυχικῆς ἕνεκα σωτηρίας ἡμῶν τε καὶ τῶν γονέων ἡμῶν. ὁμοίως δὲ καὶ τὰ κτήματα καὶ δένδρη ἐχέτω αὐτὰ ἡ μονὴ ἀνενοχλήτως ἀπὸ ὄρου καὶ ποταμοῦ, κήπων

καὶ λιβαδίων σὺν τὰς ἀγορασίας χωρὶς τοῦ προικέου, τὸ ὅπερ ἔδωκα ἐγὼ ἡ Μακρῖνα τὴν θυγατέρα μου τὴν Ἑλένην. τὰ δὲ ἕτερα, καθὼς ἄνωθεν ἔφημεν, πατρικὰ ἡμῶν γονικὰ ἔστωσαν ἅπαντα τῆς μονῆς. καὶ οὐκ ἔχει ἄδειαν αὕτη ἡ θυγάτηρ μου ἤ τις ἐκ τοῦ μέρους ἡμῶν ὄχλησιν προσφέρειν πρὸς τὴν μονήν. ὁ δὲ βουλόμενος ὀχλῆσαι τὴν μονὴν ἐχέτω τὰς ἀρὰς τῶν τιη' θεοφόρων πατέρων καὶ τὴν τοῦ Ἰούδα ἀγανάκτησιν καὶ αὐτὸν τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως. καὶ πάλιν ἡ παροῦσα ἡμῶν ψυχικὴ δωρεὰ τὸ στέργον ἕξει καὶ βέβαιον ἐν παντὶ νόμῳ καὶ δικαστηρίῳ.

87 л. | ἥτις ἐγεγόνει ἐν μηνὶ μαΐῳ ἔτους ,ϛϡκγ' ἰνδικτιῶνος ζ'.

κατὰ μαρτυρίας τῶν ἐκεῖσε τυχόντων· Γερασίμου ἱερομονάχου τοῦ Ἀπαράκη· Ἰωαννικίου ἱερομονάχου τοῦ Καλτζίβα.

✢ ὁ δοὺξ Λέων ὁ Λυκουδόπουλος.

Σεβαστὸς ὁ Μελιάνος· Ἀνδρόνικος ὁ Τζαρούας·

Κωνσταντῖνος ὁ Στρατήγης.

✢ Τὸ παρὸν λιγατογράμμα ἐμφανίσθη καὶ εἰς ἡμᾶς, καὶ ὡς τὸ κῦρος ἔχον ὑπεγράφη καὶ παρ' ἡμῶν εἰς περισσοτέραν βεβαίωσιν. ὅθεν καὶ οὐκ ἔχει τῶν κατὰ καιρὸν κεφαλαδῶν καὶ ἐνεργητῶν ἄδειαν ⟨κανεὶς⟩ ὄχλησιν ἐπάξαι ἐπὶ τοῦτο, καὶ ὁ τοῦτο βουλόμενος εὕροι τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως. ✢

μηνὶ μαΐῳ ἰνδικτιῶνος η'.

✢ ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Μεγάλου Κομνηνοῦ καὶ μέγας κοντόσταυλος καὶ κεφαλὴ Παλαιοματζούκας Κωνσταντῖνος ὁ Τζανιχίτης. ✢

1—4 все три σίγνα проп. П.-К. 6 Καλεπόπουλος П.-К. 9 μεμεριμνωμένης П.-К. 12 καὶ проп. П.-К. 13 ἕνεκεν П.-К. 17 после Μακρῖνα П.-К. вставл. от себя εἰς, совершенно лишнее. 25 εἶτις ркп. но над ει надписано η. 25 ζ', но 36 η', что и правильно для 6923 г.

124. (6923/1415 г.); л. 87 об.

87 об. | ✢ Τὰ δὲ κατ' ὄνομαν χωράφια τῆς Καλιεπόπουλος εἰσὶν ταῦτα·

χωράφιον τὸ ἐναύλην σὺν τὰ κτήματα καὶ τὰ δένδρη·

ἕτερον κομάτιν τὸ ἀντ⟨ε⟩ισαλάγην τοῦ Τζερεκέρη·

ἕτερον κομάτιν τὸ Ζεπυρέσιν·

ἕτερον κομάτιν μὲ τὸν Παῦλον τὸν Ψωμιάρην πλησίον τοῦ Ζαγιανοῦ·

ἕτερον κομάτιν τοῦ Τιμίου Σταυροῦ·

ἕτερον κομάτιν πέραθεν τοῦ ποταμίου εἰς τοῦ Τζερτεύη κάτωθεν·

ἕτερον κομάτιν εἰς τοῦ Καλιεποῦ τὸ Πηγάδην κάτωθεν.

ἕτερον κομάτιν εἰς τὴν Χαψὴν ἄνωθεν.

ἕτερον κομάτιν εἰς τοῦ Κουπιτζίου. +

125. ‹6890/1382 г.›, инд. 5, май; лл. 87 об.—88 об.; изд. П.-К., 80—81 № 8.

+ Εἰς τὸ ὄνομαν τοῦ θεοῦ καὶ πάντων τῶν ἁγίων.

ἡμεῖς οἱ δοῦλοι τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ
Μεγάλου Κομνηνοῦ Θεόδωρος ὁ Τζιμπρικὰς ἅμα τῷ γαμβρῷ
μου Μιχαὴλ τῷ Μαρκιανῷ ἐσυμβιβάσθημεν μετὰ σοῦ Μιχαὴλ τοῦ
Καλιεποῦ καὶ τοῦ ἀνευσιοῦ σου Ἀνδρονίκου του Καλ[ι]εποῦ περὶ
τὸν τόπον, τὸ ὅπερ εἶχαν οἱ γονεῖς μας τοῦ Τζερεκέρη. καὶ ἔδωκέν
το ὁ προπαπποῦς μας | ἐκεῖνος Ἰωάννης ὁ Σάχας ὑπὲρ ψυχικῆς 88 л.
σωτηρίας τοῦ προπάππου μου ἐκείνου τοῦ κυροῦ Γεωργίου τοῦ
Τζιμπρικᾶ. καὶ διότι οὐκ εἶχες γράμμαν ἀπὸ τοὺς γονεῖς μου καὶ
πάντοτε ἐνοχλοῦσαν σοι περὶ τῆς τοιαύτης γονικείας, σήμερον γοῦν
διὰ ἀξιώσεως κυροῦ Θεοδώρου τοῦ Μαρκιανοῦ καὶ Γεωργίου τοῦ
Ἀλεξοπούλου καὶ Θεοδώρου τοῦ Ἀχαντέα καὶ Θεοδώρου τοῦ Σούτου
καὶ ἑτέρων ἀξιοτίμων γερόντων, καὶ ἐν τῷ μέσῳ ἡμῶν εἰρηνικοὺς
λόγους εἰπόντες, καὶ παρεκάλουν ἡμᾶς περὶ ψυχικοῦ τῶν
γονέων ἡμῶν· καὶ μὴ ἀπαξιώσαντες αὐτοὺς ἐποιήσαμεν πρὸς ἐσὰς
γράμμαν, καὶ ἀπὸ τὴν σήμερον ἡμέραν οὐκ ἔχομεν ἄδειαν ἐνοχλεῖν
ἐσὰς τοὺς Καλεποὺς περὶ τοῦ τόπου τοῦ Τζερεκέρη οὔτε οἱ παῖδες
καὶ κληρονόμοι μας ἐνοχλήσειν τοὺς παῖδας καὶ κληρονόμους σας.
καὶ εἴ τις ἐνοχλεῖ σας, ὀφείλει διδόναι ἄσπρα φʹ· καὶ ἵνα ἔχῃ καὶ τὰς
ἁμαρτίας τῶν Τζιμπρικάντων. ἐλάβομεν καὶ | ἡμεῖς ἀπὸ σοῦ ἄσπρα 88 об.
οʹ· καὶ ἐποιήσαμεν τὸ παρὸν ἡμῶν γράμμα.

κατὰ μαρτυρίας τῶν ἄνωθεν δηλουμένων γερόντων.

μηνὶ μαΐῳ ἰνδικτιῶνος εʹ.

+ οἱ δοῦλοι τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Μεγάλου Κομνηνοῦ Θεόδωρος ὁ Τζιμπρικᾶς καὶ Μιχαὴλ ὁ Μαρκιανός.

+ ὁ δοῦλος τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Μεγά-

λου Κομνηνοῦ, συμβιβαστὴς καὶ γραφεὺς τῆς αὐτῆς ὑποθέσεως Σεβαστὸς ὁ Πηλινάς. ✠

4 Μιχαὴλ (перед τοῦ Καλιεπρῦ) проп. П.-К. 12—13 Σούτου] τούτου П.-К. 19 ἐνοχλήσας ркп.

126. 6916/1408 г., ‹инд. 1›; лл. 88 об. — 89 л.; изд. П.-К., 81 № 9.

✠ Καθότι ἐπέλεγεν Θεόδωρος ὁ Καλεπὸς Μιχαὴλ τὸν Καλιεπὸν δι' ὅπερ εἶχεν μοιραδογράφην εἰς τὰ γονικὰ τῶν ἀμφοτέρων· ἔλεγεν γὰρ ὁ Θεόδωρος ὅτι ψευδόν ἐστιν· καὶ πολλῶν λεγομένων ἔφθασαν εἰς ὅρκον, καὶ ὤμοσεν Μιχαὴλ καὶ ἐστερέωσεν αὐτὸ ὡς ἀληθινόν. καὶ τούτου ἕνεκεν οὐκ ἔχει ἄδειαν Θεόδωρος ὁ Καλεπός, ἵνα ἀπὸ τοῦ νῦν ὄχλησιν ἐπάγει πρὸς τὸν Μιχαήλ. εἰ δὲ καὶ τοῦτο βουληθῇ,
89 л. ὀφείλει διδόναι ἀερικὸν ἄσπρα φ'· | καὶ παλιν τὸ παρὸν κρισιμόγραφον ἕξει τὸ στέργον καὶ βέβαιον ἐν παντὶ νόμῳ καὶ δικαστηρίῳ.

ἥτις ἐγεγόνει ἐν μηνὶ ἰουλίῳ ἰνδικτιῶνος α'.

κατὰ μαρτυρίας παπᾶ Ἰωάννου τοῦ Δουβερίτ(ου)· Βασιλείου τοῦ Ἀπαράκη· Παύλου τοῦ Σούτου.

ἔτους ,ςϡις'.

✠ ὁ δὲ γραφεὺς Βλάσιος ἱερομόναχος ὁ Μακλάς. ✠

✠ ὁ δοὺξ Παλαιοματζούκας Κωνσταντῖνος ὁ Χαψονομίτας. ✠

1 перед Μιχαὴλ П.-К. вставл. от себя εἰς, совершенно лишнее. 3 ἔφθασεν П.-К. 6 εἰ] ἡ ркп. 7 ἀερικὸν проп. П.-К.

127. 6896/1388 г., инд. 11, июнь; л. 89 л. — об.; изд. П.-К. 81 № 10.

✠ Ἐγὼ Παῦλος ὁ Δουβερίτης μὲ τοὺς ἀδελφούς μου Φωκᾶν καὶ Ἰωαννάκην καὶ μὲ τὸν συναδελφὸν ἡμῶν Γεώργιον τὸν Παπαρωμανὰν ἐποιήσαμεν ἀντα‹λ›λαγὴν μετὰ σοῦ Μιχαὴλ τὸν Καλιεπὸν καὶ ἐδώκαμέν σοι τὸν τόπον, ὅπερ ἔχομεν εἰς τοῦ Τζευτήλου εἰς τὸ ἐναύλην σου πλησίον τὸ λεγόμενον Φουτζανέσιν· καὶ ἐπήραμεν τὸ ἐδικόν σου εἰς τοῦ Τζερεκέρη, ἅπερ εἶχες ἀπὸ τὸν Τζιμπρικὰν ἀνταλλαγήν. καὶ ὅσον ἔναι ἡ περίληψις, τὸ ἐδικόν μας ὀφείλει ἔσται
89 об. | καὶ τὸ ἐδικόν σου, καὶ ἡ ἀνταλλαγὴ μενέτω εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. καὶ τὰ δένδρη, ἅπερ στήκονται ἐν τῷ τόπῳ τοῦ

Τζερεκέρη, τὸ ὅπερ ἐλάβετε ἀφ' ἡμῶν, ὀφείλει φαγεῖν τὰς ἡμισείας Θεόδωρος ὁ Καλεπός. ἡ δὲ ἐδική μου ἡμίσεια ὀφείλει ἔσται εἰς ἐσάς.

ἅπερ ἐγεγόνει παρρησίᾳ τοῦ πανεντιμωτάτου ἄρχοντος κυροῦ Θεοδώρου τοῦ Τζιμπρικά· Μιχαὴλ τοῦ Σούτου· Λέοντος τοῦ Ἀνδρονικά· Βασιλείου τοῦ Ἀνδρονικά· Χριστοφόρου τοῦ Φαργάνου.

μηνὶ ἰουνίῳ ἰνδικτιῶνος ια' ἔτους ,ςωϟς'.

+ ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Μεγάλου Κομνηνοῦ Θεόδωρος ὁ Τζιμπρικάς.

+ ὁ γραφεὺς τοῦ ὕφους καὶ πριμμηκύριος Θεοδόσιος ὁ Συμενὸς ὑπέγραψ(α). +

2—3 Παπαρωμανάν] παπὰ Ῥωμανὸν Π.-Κ. 4 Τζεντήλου Π.-Κ. 5 Φουρτζανέσιν Π.-Κ. 14 Φαργάνου] . . . . νου Π.-Κ. 18 πριμικύριος Π.-Κ.

128. 6892/1384 г., инд. 7, июня 2; лл. 89 об. — 90 об.; изд. П.-К., 82 № 12.

Σίγνον | προταγῆς — Γεωργίου | τοῦ Χαψᾶ·

Σίγνον | Χριστοφό — ρου τοῦ | Χαψᾶ·

Σίγνον Δη | μητρίου — τοῦ Χα | ψᾶ·

| Σίγνον | (. . . . .) — τοῦ Καστελ | λίτου· 90 л.

Σίγνον | (. . . . .) — τοῦ Χα | ψᾶ·

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

ἡμεῖς οἱ ἄνωθεν σιγνογραφήσαντες καὶ κάτωθεν ὀφείλομεν ὑποτάξαι πράττομεν καὶ πωλοῦμεν πρὸς σὲ Μιχαὴλ τὸν Παπαμιχαλόπουλον καὶ πρὸς τοὺς παῖδας καὶ κληρονόμους σου τὸ ἐν τῷ βάνδῳ Ματζουκάων καὶ ἐν τῷ χωρίῳ Παλαιοματζούκας <ἐν τῇ> στάσει τοῦ Τζεπτύλου κομάτιν τόπον, τὸ διακείμενον εἰς τὸ Δρανί-

σου καὶ ἄνωθεν. ἀποσυνορεῖ δὲ ἀπὸ ἀνατολῆς τὸν Ζαγιανὸν καὶ ἀπὸ ἄνωθεν πάλιν ὁ αὐτὸς Ζαγιανός· εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους. ἐξουσίαν το ἔχεις χαρίζειν, πωλεῖν καὶ ἄλλο εἴ τι βούλῃ. καὶ οὐκ ἔχομεν ἄδειαν οὔτε ἡμεῖς οὔτε τις ἐκ τοῦ μέρους ἡμῶν
90 об. ἐνοχλεῖν σοι. καὶ ὁπόταν τοῦτο βουληθεί|ημεν, ὀφείλομεν διδόναι ἀερικὸν ἄσπρα ‚α', καὶ πάλιν ἡ παροῦσα ἡμῶν πρατηριώδης γραφὴ ἐχέτω τὸ στέργον καὶ βέβαιον. ἐλάβομεν καὶ ἡμεῖς χάρις τῆς τούτου τιμῆς ἄσπρα τῆς βασιλικῆς ἡμῶν χαραγῆς μ'. καὶ ὡς ἐλάβομεν ταῦτα ἐκ τῶν χειρῶν σου διὰ μιᾶς καταβολῆς, τὸ παρὸν ἡμῶν πρατηριῶδες γράμμα πρὸς σὲ ἐποιήσαμεν εἰς ἐμφάνειαν αἰωνίζουσαν. μηνὶ ἰουνίῳ εἰς τὴν β' ἰνδικτιῶνος ζ' ἔτους ‚ςωϟβ'.

κατὰ μαρτυρίας τῶν ἐκεῖσε τυχόντων, Θεοδώρου τοῦ Ἀπαράκη· Μιχαὴλ τοῦ Σούτωνος· Βασιλείου τοῦ Ἀνδρονικᾶ· καὶ Γεωργίου τοῦ Ῥουκάνου· καὶ ἑτέρων πολλῶν. ✣

1 προταγῆς] Προτάγας П.-К. 3—6 Σίγνον (. . . .) τοῦ Καστελίτου Σίγνον (. . . .) τοῦ Χαψᾶ проп. П.-К. 8 κυρίας П.-К. 11—12 παπᾶ Μιχαλόπουλον П.-К. 12 τὸ] τὴν П.-К. 14 στάσιν П.-К. 19 βουληθείημεν] βουληθῇ (τις) ἡμῶν П.-К. 21 χάριν П.-К. 26 μάρτυρας П.-К.

129. Второй полов. XIV века; лл. 90 об. — 91 л.; изд. П.-К., 82 № 13; перевод в коммент. стр. LIX.

✣ Γεώργιος ὁ Χαψᾶς μὲ τοὺς ἀδελφοὺς αὐτοῦ ὄχλησιν ἐποίησε μὲ τὸν Καλεπὸν περὶ τοῦ γονικοῦ τὸ συγκεκολημένον μετὰ τοῦ Γραμματικοῦ τὸ μέρος τοῦ Καπανίου καὶ ἀνάμεσα τὸ Σωλένην καὶ ἦφερον
91 л. λό|γους καὶ ὀχλήσεις· κατήντησαν καὶ εἰς ὅρκον· ἦλθον εἰρηνοποιοὶ γέροντες καὶ ἀπέστρεψαν τὸν ὅρκον καὶ ἐποίησαν πρὸς αὐτοὺς συμβίβασιν, ἵνα ἔχουν τὸν τόπον ἀναμυσείως. καὶ οὐκ ἔχει ἄδειαν ὀχλῆσαι ὁ εἷς τὸν ἕτερον. καὶ ὁ βουλόμενος ⟨ὀχλῆσαι ὀφείλει⟩ ἀερικὸν διδόναι ἄσπρ(α) φ'. καὶ τὸ παρὸν γράμμα ἕξει τὸ στέργον καὶ βέβαιον.

παρρησίᾳ τῶν ἐκεῖσε τυχόντων· Μιχαὴλ τοῦ Σούτου· Θεοδώρου τοῦ Ἀλεξοπούλου· Βασιλείου τοῦ Ἀνδρονικᾶ· καὶ ἑτέρων οὐκ ὀλίγων.

γραφεὺς τοῦ ὕφους Γεώργιος ὁ Ποπανθόπουλος. ✣

6 ἀναμισείως П.-К.

130. Второй полов. XIV века; л. 91 л.—об.; перевод в коммент. стр. LIX.

+ Ὡς καθὼς καὶ ἐνεκάλεσε Λέων ὁ Μουτζάνης εἰς τὸν Τζιμπρικὰν καὶ εἰς τοὺς γέροντας Μιχαὴλ τὸν Καλεπὸν διὰ τὸν τόπον, τὸ ἐκράτην, καὶ ἔλεγεν ὅτι ἔχει το ἀγοράν, ἤλθομεν ἐπιτοπίως καὶ ἐψηλαφήσαμεν τὴν ὑπόθεσιν ἐνακριβῆς. ἤθελεν δὲ γενέσθαι ὅρκος, καὶ οὐκ ἀφῆκαν οἱ γέροντες· καὶ διὰ τὸν ὅρκον | ἐποιήσαμεν τὸν 91 об. τόπον ἀναμισείως, ἵνα το ἔχουν οἱ δύο. καὶ οἷος ἀφῆκεν ἀπὸ τὸ δίκαιόν του, ἂς ἔχῃ αὐτὸ ἀπὸ τὸν μισθαποδότην θεόν.

κατὰ μαρτυρίας Ἰωάννου τοῦ Χαψᾶ· καὶ Ἰωαννάκη τοῦ Μούντρη.

γραφεὺς καὶ μάρτυς ⟨Θεόδωρος⟩ ἱερεὺς ὁ Μουτζάνης. +

131. Второй полов. XIV века; л. 91 об.; изд. П.-К., 82 № 14.

+ Καθὼς καὶ ἐνεκάλεσε Θεόδωρος ὁ Καλεπὸς Μιχαὴλ τὸν Καλεπὸν περὶ τῆς μοιρασίας, ἤφεραν τὸ μοιραδογράφην, καὶ καθὼς ἔγραφεν ἐποιήσαμεν, καὶ ὅσα ἀμοίραγα ηὕραμεν ἐμοιράξαμεν. ἐστήσαμεν δὲ καὶ σύνορα· τοῦ Φλίντζη τὸ μέρος καὶ τοῦ Πηγαδίου ἐπῆρεν ὁ Θεόδωρος, τὸ μέσα τὸ κομάτιν καὶ τὸ Ἀλεπουσέσιν ἐπῆρεν ὁ Μιχάλης.

κατὰ μαρτυρίας Θεοδώρου τοῦ Ἀλεξοπούλου· Ἀνδρονίκου τοῦ Ἀπαράκη· καὶ τοῦ Ζαχαριοπούλου.

κριταὶ τῆς ὑποθέσεως Γεώργιος ὁ Σοῦτον καὶ Παῦλος ο Σοῦτον. +

5 τὸ Ἀλεπουσέσιν] ἐ.. πουσέσιν П.-К. 7 μάρτυρας П.-К. 9—10 Σούτου в обоих случаях П.-К.

132. Второй полов. XIV века; л. 92 л.—об.; русск. перев. Усп., 1016.

| + Περὶ τοῦ χωραφίου τοῦ διακειμένου εἰς τὸ Παλαιαλώνην 92 л. ἀγωγὴν ἐκίνησεν Θεόδωρος ὁ Ψωμιάρης κατὰ τῶν Καλιεπάντων, καὶ ἀνεζήτει αὐτὸ ὡς ἀπὸ τοῦ Μονομάχου τοῦ παπποῦ αὐτοῦ. οἱ δὲ Καλιεποὶ ἔλεγον ὅτι αὐτὸ παλαιὰ νομὴ ἐδική μας ἔναι, καὶ οὐδέ-

ποτε μεμνήμεθα ὅτι Μονομάχος ἢ Ἀγαθὰς ἐνομεύθην αὐτό. στέρξαντες γοῦν τὰ ἀμφότερα μέρη Γεώργιον τὸν Χάλδην, ἀγαγόντες γοῦν αὐτὸν ἐνώπιον ἡμῶν καὶ μετὰ ὅρκου ἔφησεν, ὅτι αὐτὸ τὸ χωράφιον τοῦ Καλεποῦ ἔναι. καὶ κατὰ τὴν ἔνορκον μαρτυρίαν αὐτοῦ δικαιοῦμεν τοὺς Καλεπάντας, ἵνα διακρατοῦν καὶ νέμωνται τὸ τοιοῦτον χωράφιον ἄτερ ἐμποδισμοῦ καὶ ὀχλήσεως παρὰ τοῦ μέρους τοῦ Μονομάχου καὶ τοῦ Ἀγαθᾶ. ὅθεν καὶ οὐκ ἔχει ἄδειαν τὶς τῶν
92 об. παίδων καὶ κληρονόμων καὶ δια|δόχων αὐτῶν ἐνοχλείην τοὺς Καλιεπάντας ἢ τοὺς κληρονόμους τούτων. οἷος δὲ τοῦτο βουληθείη, ὡς ἄπρακτος καὶ ἀνίσχυρος ἀποπεμφθείη καὶ πρόστιμαν ὑπόκειται δοῦναι ἄσπρα φ'. ἐπὶ τοῦτο γὰρ καὶ ἡ παροῦσα ἡμῶν διάγνωσις ἐγεγόνει καὶ ἐδόθη Θεοδώρῳ καὶ Μιχαὴλ τοῖς Καλιεποῖς δι' ἐμφάνειαν.

μηνὶ δεκεμβρίῳ ἰνδικτιῶνος ϛ'.

+ ὁ καθηγούμενος τοῦ Ζαβουλὼν Ἰωαννίκιος ἱερομόναχος. + Ἰωάννης ἱερεὺς ὁ Δουβερίτης· Μιχαὴλ ὁ Σοῦτον.

Κωνσταντῖνος ὁ Πανάρετος ὑπέγραψ(α). +

133. 6889/1381 г., инд. 4, июль; лл. 92 об. — 94 об.; изд. П.-К., 78 № 2; русск. перев. у Усп., 1016—1018 и коммент. стр. LVI—LVII.

+ Μιχαὴλ ὁ Καλεπὸς ἔγκλησιν ἔθετο κατὰ Θεοθώρου τοῦ Τζαμιώτου, λέγων ὅτι νομήν, ἣν ἐνέμετο χρόνους ἐπάνω τῶν ἑβδομήκοντα ἀπόντος αὐτοῦ καὶ μηδεμίαν εἴδησιν ἔχοντος, προσῆλθε τῷ
93 л. δουκὶ Ματζουκάων ὁ Τζαμιώτης καὶ διὰ γράμματος τά|χα κρισίμου ἀνελάβετο τὴν νομὴν αὐτοῦ παραλόγως. παραγενόμενος γοῦν καὶ ὁ Τζαμιώτης τὸ γράμμα τοῦ δουκὸς καθυπέδειξε· καὶ ἦν ἐν αὐτῷ ὑπογεγραμμένος καὶ ὁ Σκουτέριος. καθωμολόγει δὲ καὶ ὁ Τζαμιώτης, ὅτι μὴ παρόντος τοῦ Καλεποῦ διὰ μόνης μαρτυρίας τῆς Χαψάβας Σεβαστῆς ἐποίησε τὸ γράμμα ὁ δοὺξ καὶ [ὁ] πιγκέρνης. ὅμως καὶ τὸν Σκουτέριον μετακαλεσάμενοι καὶ ἐνόρκως ἐπερωτήσαντες ἐξεῖπε καὶ αὐτός, ὅτι ἐν Τραπεζοῦντι διάγων καὶ εὑρισκόμενος γέγονεν εἰς τὴν Ματζοῦκαν τὸ γράμμα παρὰ τοῦ δουκός· καὶ μετὰ ταῦτα ὑπεγράφη καὶ παρ' αὐτοῦ, ὡς δῆθεν δίκαιον. πρόσωπα δὲ κρινομένων οὐκ εἶδε οὔτε λόγους δικολογουμένων ἀκήκοεν. ὁ δὲ

Τζαμιώτης καὶ αὖθις τὸν Ἀλεξόπουλον ἐπεκαλεῖτο Γεώργιον καὶ τὴν Σεβαστήν, ὡς γινώσκοντας τὴν νομὴν αὐτοῦ καὶ τὸ δίκαιον καὶ ὡς ὑπὸ τοῦ λόγου | αὐτῶν δικαιωθεὶς παρὰ τοῦ δουκός. κατὰ 93 ού. γοῦν τὴν αἴτησιν αὐτοῦ, εἰ καὶ περισσὸν ἦν, ἀλλ' ὅμως μετακαλεσάμεθα τούτους. καὶ ὁ μὲν Ἀλεξόπουλος ἀκοὰς ματαίας ἔλεγεν ἔχειν, τοῦ Χαψᾶ ποτε ὀχληθέντος μετὰ γέροντος ἐκείνου τοῦ Καλεποῦ καὶ εἰπόντος ἐν τῇ ὀχλήσει, ὅτι κατέχει καὶ τὴν νομὴν Μανπλανάντων· ὅθεν καὶ κρατηθεὶς παραστῆσαι τὸ εἶπεν, ἀπὸ τῆς γυναικὸς αὐτοῦ ὑπέδειξε τοῦτο ἀκοῦσαι τῆς Σεβαστῆς. ἡ δὲ ἐρωτηθεῖσα τῷ τότε, κατέφυγεν εἰς τὴν ἰδίαν πενθεράν· καὶ ἦν προαποθανοῦσα ἐκείνη. καὶ οὕτω τοῦ λόγου μεταβιβαζομένου, οὐδὲν εὑρέθη βέβαιον, ἀλλ' εἴ τι καὶ εἶπεν ὁ Χαψαίας ὑπὸ ἀψιμαχίας ἐλαλήθη καὶ ἔριδος. ἡ δέ γε Σεβαστὴ καὶ αὐτὴ οὐδὲν ἄλλο εἶπεν εἰδέναι, εἰ μὴ καθ' ὁδὸν παραγγελίαν τῆς πενθερᾶς αὐτῆς, εἰπούσης ὅτι ὧδε περίπου τὸ Ζεπυρέσιν ἔστι καὶ νομὴ τῶν Μανπλανάντων.

| καὶ ταῦτα μὲν οὕτως. ἡμεῖς δὲ τὰς μαρτυρίας ταύτας ὡς ἀνω- 94 λ. φελεῖς παριδόντες καὶ ματαίας παντάπασιν, ἐπεὶ εὕρομεν, ὡς οὔτε ὁ Τζαμιώτης ἐπὶ τοσούτους χρόνους οὔτε ὁ τούτου πατὴρ ἀνεκαλέσατο νομὴν εἰς τὸ Ζεπυρέσιν ἢ τὸν Καλεπὸν παρηνόχλησεν, ἀποφαινόμεθα, ἵνα τὸ μὲν γράμμα τοῦ δουκὸς ἔχοι τὸ ἄστεργον καὶ ἄπρακτον καὶ ἀνενέργητον, ὅπου δ' ἂν καὶ ἀναφανῇ, ὡς ἐσφαλμένον καὶ μονοπρόσωπον καὶ ἔξω παρατηρήσεως νομικῆς· ὁ δὲ Μιχαὴλ ὁ Καλεπὸς ἔχοι καὶ νέμεται τὴν ἀφαιρεθεῖσαν αὐτῷ νομὴν τὸ Ζεπυρέσιν ἤτοι τὸ ἐναύλιον αὐτοῦ ἀνενοχλήτως καὶ ἀδιασείστως κατὰ τὴν πολυχρόνιον καὶ παλαιοτάτην τούτου πενθερικὴν νομὴν καὶ κατὰ τὴν εἰσήγησιν τῶν ἱερῶν νόμων. καὶ εἴ ποτε ὁ Τζαμιώτης ἢ τὸ μέρος αὐτοῦ ἐπιχειρήσουσιν ὑποδεῖξαι τὸ ἀπόβλητον γράμμα, | πρόστιμον δώσοι ἄσπρα ͵α'. 94 ού.

ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ἡ παροῦσα ἀπόφασις μηνὶ ἰουλίῳ ἔτους ͵ϛωπθ'.

✠ οἱ καθολικοὶ κριταὶ τῆς θεοσώστου καὶ θεοσυντηρήτου πόλεως Τραπεζοῦντος καὶ πασῶν τῶν χωρῶν.

✠ ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν ‹αὐθέντου› καὶ βασιλέως τοῦ Μεγάλου Κομνηνοῦ καὶ τατᾶς τῆς βασιλικῆς αὐλῆς Θεριανὸς ὁ Εὐνοῦχος. ✠

✠ Τὸ παρὸν κρισιμόγραφον ἐστέρχθη καὶ ὑπεγράφη καὶ παρ'

ἐμοῦ εἰς περισσοτέραν βεβαίωσιν καὶ ἀσφάλειαν μηνὶ ἰουλίῳ ἰνδικτιῶνος δ'.

+ ὁ δοῦλος τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Μεγάλου Κομνηνοῦ, δοὺξ καὶ κεφαλὴ τοῦ ὅλου βάνδους Ματζουκάων ἐπικέρνιος Γεώργιος ὁ Σιμάτης.

+ ὁ σκευοφύλαξ Κωνσταντῖνος ὁ Λαζαρόπουλος. +

16 *τὸ δίκαιον*] *δίκαιον* П.-К. 37 *ἔχοι καὶ νέμηται* П.-К. 37 *αὐτῷ*] *αὐτοῦ* П.-К. 42 *ἄσπρων* П.-К. 48 *Θεριανὸς*] *Θεόδωρος* П.-К. сравн. **103** 34. 55 к *Σιμάτης* сравн. **103** 36.

134. 6924/1415 г., инд. 9, сентябрь; лл. 95 л. — 96 л.; изд. П.-К., 78—79 № 3; русск. перев. у Усп., 1018.

95 л. | *Κρισιμόγραφον τοῦ Ἀνδρέα.*

+ Ὡς καθὼς καὶ ἐνεκάλεσεν Γεώργιος ὁ Ἀνδρέας Θεριανὸν τὸν Χαρσενίτην εἰς τὸν δοῦκα τῆς χώρας κυρ(ὸν) Λέοντα τὸν Λυκουδόπουλον καὶ εἰς τὸν πριμμικύριον κυρ(ὸν) Θεόδωρον τὸν Ψαλενὸν περὶ τῶν δύο καρυδίων, τὸ στήκει εἰς τὸ Καπάνιν ἄνωθεν τὸ Καρφέσιν, καὶ τὸ Κουρασμένον, τὸ στήκει εἰς τοῦ Θεοπέμπτου τοῦ Ξένου κάτωθεν. ἔλεγεν ὁ Ἀνδρέας, ὅτι τὰ καρύδια ἐδικά μου εἶναι, καὶ σὺ μέτοχος ἐκεῖ οὐδὲν ἦσαι. ἀντέλεγεν ὁ Χαρσενίτης, ὅτι τὰ δένδρη ἐδικά μου εἶναι, καὶ ἐγὼ πάντοτε ἔτρωγά τα. ἡμεῖς δὲ τὴν ὑπόθεσιν ἀκριβῶς ἐξετάσαντες, ἐψηλαφήσαμεν μάρτυρας καὶ ἠφέραμεν Θεριανὸν τὸν Ξένον καὶ Δημήτριον τὸν Χαψᾶν καὶ ἠρωτήσαμεν αὐτοὺς μετὰ ἐπιτιμίου, καὶ εἶπαν οὕτως, ὅτι τὰ καρύδια
95 об. *ἐκεῖνα ὁ Ἀνδρέας ἐτίνασσεν καὶ τὸν Χαρσενίτην οὐκ οἴ| δαμεν ποτέ, ὅτι μὲ τὸν Ἀνδρέαν ἔτρωγεν ἢ ἐμοίραζεν αὐτά. ὁμοίως καὶ ὁ τόπος, ἐν ᾧ στήκεται τὸ καρύδιν τὸ κυρτόν, τοῦ Καρφᾶ ἔναι, καθὼς δίδει αὐτὸ τὸ σύνορον.*

ἀκούσαντες καὶ ἡμεῖς τὰς μαρτυρίας [αὐτῶν], ἀποφαινόμεθα οὕτως, ἵνα ἔχῃ Γεώργιος ὁ Ἀνδρέας τὰ καρύδια καὶ τὸν τόπον, καθὼς οἱ μάρτυρες ἐμαρτύρησαν, καὶ τὰ φυτὰ τοῦ Χαρσενίτα, καθὼς ἔναι ἡ συνήθεια τοῦ τόπου, τὰς ἡμισείας ὁ Ἀνδρέας καὶ τὰς ἡμισείας ὁ Χαρσενίτης ὡς φυτουργός. καὶ οὐκ ἔχει ἄδειαν ἢ αὐτὸς ὁ Χαρσενίτης ἢ τὶς ἐκ τοῦ μέρους αὐτοῦ ἐνοχλῆσαι αὐτὸν οὔτε εἰς τὸν τόπον οὔτε εἰς τὰ καρύδια. καὶ ὁ τοῦτο βουλόμενος ὀφείλει

διδόναι ἐν τῷ βασιλικῷ βεστιαρίῳ ἄσπρα φ'. καὶ πάλιν τὸ παρὸν κρισιμόγραφον ἔστω στέργον καὶ βέβαιον ἐν παντὶ νόμῳ καὶ δικαστηρίῳ.

|ἥτις ἐγεγόνει ἐν μηνὶ σεπτεμβρίῳ ἰνδικτιῶνος θ' ἔτους 96 л.
ϛϡκδ'.

+ κριταὶ τῆς αὐτῆς ὑποθέσεως γέροντες βασιλικοὶ Ἀνδρόνικος ὁ Τζαρούας καὶ Κώνστας ὁ Στρατήγης.

+ ὁ πριμμικύριος Θεριανὸς ὁ Φαλενός.

+ ὁ δοὺξ Λέων ὁ Λυκουδόπουλος.

+ ὁ ἡγούμενος τοῦ Ζαβουλῶν Λάζαρος ἱερομόναχος ἔγραψε καὶ ὑπέγραψε.

+ τὴν παροῦσαν κρίσιμον γραφὴν ἰδὼν καὶ ὡς δικαίαν καὶ νόμιμον οὖσαν ὑπεγράφην καὶ ἐγὼ εἰς περισσοτέραν ἀσφάλειαν καὶ βεβαίωσιν.

+ ὁ δοὺξ Θεόδωρος ὁ Κισώρης.

1 Θεριανὸν] Θεόθωρον П.-К. 2 κὺρ П.-К. 4 Λυκοδόπουλον П.-К. 4 πριμικύριον κὺρ П.-К. 8—9 καὶ σὺ μέτοχος... μου εἶναι проп. П.-К. 11 Θεριανὸν] Θεόδωρον П.-К. 18 τὸ καρύδιν П.-К. 19 Χαρσενίτου П.-К. 23 τοῦτο/τούτω ркп. 31 Θεριανὸς] Θεόδωρος П.-К. 32 Λυκοδόπουλος П.-К. 35 κρίσιμον γραφὴν проп. П.-К.

135. 6940/1431 г., инд. 10, сентябрь; л. 96 л. — об.; изд. П.-К., 82—83 № 15.

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

κἀγὼ Ἰωάννης ὁ Ἀνδρέας, μετὰ καὶ τῆς θελήσεως τῆς μητρός
μου, | δεδώκαμεν εἰς τὸν τίμιον Πρόδρομον τὴν Κυρτὴν Καρέαν 96 об.
σύν τὸ τοπίον, ἐν ᾧ ἵσταται τὸ Καρφέσιν λεγόμενον, καὶ τὰ φυτὰ ὅπερ ἐφύτευσε ὁ Χαρσενίτης, καθὼς καὶ τὸ κρισιμόγραφον παραδηλοῖ, ὑπὲρ ψυχικῆς σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν μου καὶ τῶν γονέων μου. καὶ ὁ βουλόμενος ἐνοχλῆσαι τὴν μονὴν ἐχέτω τὸν Πρόδρομον ἀντίμαχον.

ἐν μηνὶ σεπτεμβρίῳ ἰνδικτιῶνος ι' τοῦ ϛϡμ' ἔτους.

+ κατὰ μαρτυρίας Διονυσίου τοῦ Χαψᾶ· Βασιλείου τοῦ αὐτοῦ υἱοῦ· Ἄνθη τοῦ Χαλαμάν(η).

+ ὁ καθηγούμενος τοῦ Ζαβουλὼν καὶ γραφεὺς Μακάριος ἱερομόναχος.

2 κυρίας П.-К. 7 ὅπερ] τὰ ἄπερ П.-К. 13 Χαλαμάνη П.-К. и здесь заканчивает текст. 15 за текстом 135 приписано рукой XVI в. (тою же, что за 183): + εγραφεν Αγαπης ὁ Παπουτζης ετους ,ζ (далее срезана строка).

136. 6940/1432 г., инд. 10, апрель; л. 97 л.

97 л. |+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. κἀγὼ Μανουὴλ ὁ Καρμούτης πεποίηκα εἰς τὸν τίμιον Πρόδρομον παράπτην σιδηροῦν, ὑπὲρ ψυχικῆς μου σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν μου καὶ τῶν γονέων μου.

ἐν μηνὶ ἀπριλλίῳ ἰνδικτιῶνος ι' ἔτους ,ςϡμ'.

137. 6940/1432 г., инд. 10, апрель; л. 97 л.

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. κἀγὼ Κώνστας ὁ Καρμούτης ἔδωκα εἰς τὸν τίμιον Πρόδρομον γαρικοῦ τίμημαν ἄσπρα εὐδομήκοντα, ὑπὲρ ψυχικῆς μου σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν μου καὶ τῶν γονέων μου.

μηνὶ καὶ ἰνδικτιῶνι τοῖς ἀναγεγραμμένοις. +

138. Около 6940/1432 г.; л. 97 л.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. κἀγὼ Νικόλαος ὁ Στρατήγης ἔδωκα εἰς τὸν τίμιον Πρόδρομον γαρικοῦ τίμημαν ἄσπρα ν', ὑπὲρ ψυχικῆς <μου> σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν μου καὶ τῶν γονέων μου. +

139. Около 6940/1432 г.; лл. 97 об.-98 л. (п. н.); см. табл. 11.

97 об. |+ Μνήσθητι κύριε καὶ συγχώρει τὴν ψυχὴν τοῦ δούλου σου Ἰωάννου τοῦ Ζιγανίτα ἔδωκα εἰς τὸν τίμιον Πρόδρομον κρασὶν φόλερα β', ὑπὲρ ψυχικῆς σωτηρίας καὶ ἀφέ<σε>ως τῶν ἁμαρτιῶν μου τῶν ἐμῶν καὶ τῶν γενητόρων μου.

ὁμοίως καὶ ἐγὼ Σαητὰς τζαρίκια ε'.

ὁμοίως καὶ Σαμψὼν φόλερον α'.

καὶ ὁ Μανούλης τζιαρίκιν α'.

καὶ νὰ ἔχωμεν καὶ ἡμεῖς τὸν Πρόδρομον βοηθὸν ἐν ἡμέρᾳ κρίσεως.

98 л. καὶ |ἵνα τῷ δουλεύουσιν οἱ παῖδες καὶ κληρονόμοι ὡς ξεροκάπαλον.

140. 7100/1592 г., инд. 4 (должно быть: 5), марта 21; л. 98 л. (п. и.); см. табл. 11.

+ *Κἀγὼ Σωφρόνιος ἱεροδιάκων ὁ Τζαρούγας δέδωκα εἰς τὸν θεῖον καὶ πάνσεπτον ναὸν τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου το<ῦ> Βαζελοῦ. περὶ ψυχικῆς σωτηρίας δίδω καὶ ἀφιερώνω κοῦπα ἀσιμένιον, ποτήριον οὔ<γ>κρικο, στρωματικ(ὰ) ταψύα σὺν ἔργα ἀργάλεια ἄσπρ(ων), ͵βχμ· καὶ ὅποιος ἀπὸ τοὺς ἐδικούς μου ἢ ἄλ<λ>ος τις θέλει ἀποξενώσει τίποτες ἀπὸ τὸ μοναστήρι, νὰ ἔχῃ τὰς ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων, καὶ ὁ ἅγιος Ἰωάννης ὁ Πρόδρομος νὰ εἶναι ἀντίδικός σου.*

μηνὶ μαρτίῳ κα' ἰνδικτιῶνος δ' ἔτους ͵ζρ'.

ὁμοῦ τὸν ἀριθμὸν τῶν ἄσπρων χιλιάδες β χμ.

ὁ δὲ γραφεὺς Θεοφάνης ἀρχιθύτης.

+ *(ἁμαρτωλὸς) Θεόδουλος* + *<ὁ> Πουλγάρης. Ἰωάννης ἀδελφός του. Μηραλὴς <ὁ> Μουγαλτᾶς. παπᾶ Θεοφύλακτος. Σταυριανὸς <ὁ> Φιλάρετος. Χιονίος <ὁ> Καθιστός. (Χρ)ιστόδουλος (ὁ ....).*

1 перед текстом добавл. поздн. рукой: *σιγνον σοφρονιος*. 11 Θεοφан был митрополитом Трапезунтским в 1585—1594 гг.

141. Около 6940/1432 г.; л. 98 об. (п. и.).

+ | *Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.* 98 об.

ἐγὼ Βασίλης <ὁ> Λαλάτζης, Θεόδοτος <ὁ> Λαλάτζα, Νικόλας <ὁ> Λαλά<τζα> εἴχαν επ(ηὸ κάν) μὲ τὸ μαναστήρην 'ς τὴν χαμελέτεν ἀπάνου κέσου καὶ νὰ τὰ διὰ τὴν ψυχὴν νά τον εἰς τὸν Πρόδρομον. καὶ οἷος ἀχ τὸ μέρο<ς> τις καὶ ἀχ τοὺς κληρονόμο<υ>ς ἂς ἔχοι τὰ<ς> ἀρά<ς> τῶν τι' καὶ η' θεοφόρων <πατέρων> τὴν κατάραν καὶ τοῦ Ἰούδα τὴν <ἀ>γανάκτησιν.

κατὰ μαρτυρ<ί>ας τῶν ἐκεῖσε τυχόντων Κω<ν>σταντῖνος Αὐλύτης Ξενομιχάλις Ξένος Ἀτιλαντζῆς καὶ ἕτεροι πολλοί.

ὁ δὲ γραφε<ὺ>ς καὶ μάρτυρας προηγούμενος τοῦ Βαζελοῦ ἱερομόναχος Λουκᾶς.

142. 6941/1433 г., инд. 11 июнь; лл. 99 л. — 100 л.

+ | *Εν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύμα-* 99 л. *τος διὰ τῆς κυρίως καὶ ἀληθοῦς ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.*

κἀγὼ Καλὴ ἡ Λαλατζόπουλος, ἅμα μετὰ καὶ τοῦ υἱοῦ τῆς αὐταδέλφης μου Σεβαστῆς καὶ ἀνεψιοῦ μου Κοσμᾶ ἱερομονάχου, ἐξ οἰκείας ἡμῶν βουλῆς καὶ θελήσεως καὶ αὐτοπροαιρέτου γνώμης, μετ' ἐπισκέψεως καὶ μεμεριμνημένου σκοποῦ τιθέμεθα καὶ ἀφιεροῦμεν τὸ γονικὸν ἡμῶν τὸ Κασκαρέσιν, ὅσον μας διαφέρει, εἰς τὸν τίμιον καὶ ἅγιον Πρόδρομον τὸν Ζαβουλιώτην ὑπὲρ ψυχικῆς σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν ἡμῶν, ἵνα ἔχωμεν καὶ ἡμεῖς αὐτὸν
99 об. ἐν ἡμέρᾳ κρίσεως βοηθὸν καὶ προστάτην. ἡ δὲ τρίτη μερὶς | τοῦ γονικοῦ τούτου ἔστω Θεοδώρου τοῦ ἀνεψιοῦ μου καὶ ἐχέτω αὐτὸ εἰς ἄδειαν. τὰ δὲ δύο μέρη ἐχέτω ἡ τιμία καὶ ἁγία μονὴ εἰς ἰδίαν δεσποτείαν καὶ κυριότητα, μὴ ἔχοντος ἄδειαν ποτέ τινος ἐκ τοῦ μέρους ἡμῶν ἀνατρέψαι ἢ παρασαλεῦσαι τὴν παράδοσιν ἡμῶν τὸ σύνολον. καὶ ὁ τοῦτο βουλόμενος ἀρὰς κληρονομείτω τῶν τιη' θεοφόρων πατέρων καὶ τὴν τοῦ Ἰούδα ἀγανάκτησιν. ἐχέτω δὲ καὶ τὸν Πρόδρομον μαχόμενον ἐν τῇ τῆς δίκης φρικτῇ ἡμέρᾳ. καὶ πάλιν ἡ παροῦσα ἡμῶν γραφὴ τὸ στέργον ἕξει καὶ βέβαιον.

ἐν μηνὶ ἰουνίῳ ἰνδικτιῶνος ια' τοῦ ,ς϶ϡμα' ἔτους.

✠ κατὰ μαρτυρίας Ἀκακίου μοναχοῦ τοῦ Χαλαμάνη· Μιχαὴλ τοῦ
100 л. Χαλαμάνη· Ἀνδρονίκου τοῦ | Πολίτου· Γρηγορίου τοῦ Πολίτου· καὶ ἑτέρων πολλῶν.

✠ ὁ καθηγούμενος τοῦ Ζαβουλὼν Μακάριος ἱερομόναχος ἔγραψα καὶ ὑπέγραψα.

143. (6941/1433 г.); лл. 100 л. — 102 об.

✠ Τὰ δὲ κομάτια εἰσὶ ταῦτα.

Εἰς τὴν στάσιν τοῦ Καντζῆ.

εἰς τὰ Ὑποκέπια ἐναύλιν ψωμιαρῶν δύο· ἀπὸ ἄνωθεν ἀποσυνοριάζει τὸν Τριχήν, καὶ ἀπὸ κάτωθεν τὸν Πολίτην.

ἕτερον κομμάτην εἰς τὸ Ἀλώνιν ἔμπροσθεν σὺν τὰ Ἀχυρωνοέδρια· ἀπὸ ἄνωθεν ἀποσυνορεῖ τὸν Λαλάτζην, καὶ ἀπὸ κάτωθεν τὸν Στρατήγην.

ὀσπητοέδρην σὺν τοὺς δύο κήπους.

ἑτέρα ἕδρα ἄνωθεν σὺν τὸν κῆπον.

ἕτερος κῆπος καὶ καρέα εἰς τὴν Ῥύμνην· ἀπὸ ἄνωθεν ἀποσυνορεῖ τὸν Ζωσιμᾶν, καὶ ἀπὸ κάτωθεν τὸν Τζικᾶν.

ἕτερος κῆπος εἰς τὸν πόρον, σὺν τὸ μῆλον· ἐκεῖ ἵσταται | καὶ 100 οβ.
γλυκόμηλον πεκουλικόν μου.

ἕτερον χωράφιν εἰς τοῦ Τετανᾶ, τὸ ἀντίμοιρον τοῦ Ἰβερᾶ, ψωμιαρῶν τριῶν.

ἕτερον ἐναύλιν εἰς τὸ Τζιβριλέσιν· ἀπὸ ἄνωθεν ἀποσυνορεῖ τὸν Τζιμπρικᾶν, καὶ ἀπὸ κάτωθεν τὸν Χαντζόην.

ἕτερον ἐναύλιν εἰς τὴν Ἐλαίαν, ψωμιαρῶν τριῶν, σὺν τὸ ἀλώνιν καὶ τὰς ἕδρας· ἀπὸ ἄνωθεν ἀποσυνορεῖ τὴν μονὴν τοῦ Προδρόμου, καὶ ἀπὸ κάτωθεν τὸν Ἰβερᾶν.

ἕτερον λωρὶν εἰς τὸ Σπελιδίσκιν· ἀπὸ ἄνωθεν ἀποσυνορεῖ τὸν Τζανιχίτην, καὶ ἀπὸ κάτωθεν τὸν Δουβερίτην.

εἰς τοῦ Μαράχου, ψωμιαρῶν δύο· ἀπὸ ἄνωθεν ἀποσυνορεῖ τὸν Δουβερίτην, καὶ ἀπὸ κάτωθεν τὸν Παπαμιχαλόπουλον.

εἰς τὴν Ἐλαίαν κομμάτιν ψωμιαρῶν τριῶν· | ἀπὸ ἄνωθεν ἡ μονή,
καὶ ἀπὸ κάτωθεν ὁ Καθιστός. 101 α.

ἕτερον κομμάτιν εἰς τὸ Γαυρίν.

ἕτερον χωράφιν εἰς τὸν Ἴριν, ἄνωθεν τοῦ δρόμου· ἀπὸ ἄνωθεν ἀποσυνορεῖ τὸν Ἰβερᾶν, ψωμιαρῶν τεσσάρων.

ἕτερον χωράφιν εἰς τὰ Μαυράπια, χοινικὸς ἑνός· ἀπὸ ἄνωθέν ὁ δρόμος, καὶ ἀπὸ κάτωθεν ὁ Παπαμιχαλόπουλος.

εἰς τὰ Καταλύσια λωρὶν ψωμιαρῶν δύο· ἀπὸ ἄνωθεν ὁ Παπαμιχαλόπουλος, καὶ ἀπὸ κάτωθεν ὁ Τζαρούας.

κάτωθεν εἰς τὸ Κράνιν, ψωμιαρῶν τριῶν· ἀπὸ ἄνωθεν ἀποσυνορεῖ τὸν Μαζελέριν, καὶ ἀπὸ κάτωθεν τὸν Τζαρούαν.

εἰς τοῦ Τζιγκροῦ εἰς τὴν Πηγὴν κομμάτιν.

εἰς τὴν Χαλάβεναν λωρίν.

εἰς τὰ Καταλύσια, εἰς τὸ Μῆλον, ἄνωθεν τοῦ δρόμου λωρὶν σὺν τὸ ἀντιλλάγην, τὸ ἔχομεν ἀπὸ τὸν Ἀντρονικᾶν, ψωμιαρῶν τριῶν.

εἰς τὸ Γοβάθην εἰς τῆς Παναγίας τὸ χωράφιν ἀπὸ τὰ πέντε τὸ ἕν.

| ἕτερον λωρὶν Κουτουτέσιν συγκεκολλημένον ἐκεῖ. 101 οβ.

εἰς τῶν Βασακίων χωράφιν ἀπὸ τὸ Παλαιοδρόμην καὶ ἄνωθεν, ψωμιαρῶν τεσσάρων· ἀπὸ ἄνωθεν ὁ Πολίτης, καὶ ἀπὸ κάτωθεν ὁ παλαιὸς δρόμος.

εἰς τὰ Ἀντία, ἄνωθεν τῆς ὁδοῦ, κομμάτιν ψωμιαρῶν δύο.

εἰς τὸ Στεγνόλιθον ἄνωθεν, κομμάτιν ψωμιαρὸς <α'>.

εἰς τὸν Παλαιοχαμηλέτην, εἰς τὸ ἐξαγώγην ὅσον με διαφέρει ἀπὸ τοὺς συνἀδελφούς μου ἡ μοῖρα μου· ἐκεῖσε ἵσταται καί <ἡ> καρέα πεκουλική μου.

Εἰς τὴν στάσιν τοῦ Ζερζέλη.

εἰς ὅσον καὶ κατέχει ἡ Ἁγία Σοφία σὺν τοὺς γονικαρχίους, κήπους καὶ καθέδρας καὶ δένδρη καὶ γονικὸν, ἀπὸ τὰ πέντε τὸ ἓν ἐδικόν μου.

εἰς τὸ Κασκαρέσιν τὸ ἐναύλιν ψωμιαρῶν πέντε· ἀπὸ ἄνωθεν
102 π. ὁ Πολίτης, καὶ | ἀπὸ κάτωθεν τῆς Ὀφρίδος τὸν Κουτουτᾶν.

εἰς τὸ λεγόμενον Φυτὸν κῆπον.

εἰς τὴν Πηγὴν κῆπον σὺν τὰς δύο καρέας.

εἰς τὰ Ἀρκάπια ἐναύλιν ψωμιαρῶν δέκα· ἀπὸ ἄνωθεν ὁ Δουβερίτης, καὶ ἀπὸ Πόδας ὡς δίδει ὁ περιορισμὸς τῆς Ἁγίας Σοφίας.

χωράφιον εἰς τὸ Κανπίσκην χοινικὸς ἑνός· ἀπὸ ἄνωθεν ὁ δρόμος, καὶ ἀπὸ κάτωθεν ὁ Χουλινιώτης.

ἕτερον κομμάτιν ἄνωθεν τοῦ δρόμου ἀπὸ τὰ πέντε τὸ ἕν.

ἕτερον κομμάτιν εἰς τὰ Ἀλάτια, ὅπερ ἀγορὰν ἀπὸ τὸν Κουτιτᾶν· ἀπὸ ἄνωθεν ὁ Πολίτης, καὶ ἀπὸ κάτωθεν ὁ Πρόδρομος.

εἰς τὴν Αἰθέρισαν εἰς τὸ Νιλέσιν ἀπὸ τὰ πέντε τὸ ἓν τοῦ Ζερζέλου.

εἰς τὴν Χαϊὰν λιβάδιν τὸ Ζερζελέσιν ἀπὸ τὰ πέντε τὸ ἕν.

εἰς τὴν Γομαλαίαν εἰς τὸ Νησσὶν ψωμιαρῶν δύο.

102 όπ. εἰς τὴν Παλαιοματζούκαν ὅπερ | ἔχει ὁ Παπαμιχαλόπουλος.

ἕτερον κομμάτιν εἰς τὴν Παλαιοματζούκαν εἰς τοῦ Μελιάνη κάτωθεν, ψωμιαρῶν τριῶν.

ἕτερον κομμάτιν εἰς τοῦ Σουλουρίου.

ἔχει καὶ ὁ Μαρκιανὸς ἀκρόστιχον, ὅσον μας διαφέρει ἀπὸ τοῦ Κανπανᾶ, μέχρι καὶ τῆς Παλαιοματζούκας. ἐξ αὐτῶν ἡ τρίτη μοῖρα ἔστω Θεοδώρου τοῦ Κολιάντρη, καὶ αἱ δύο μερίδες ἔστωσαν τῆς μονῆς.

ἡ δὲ Θεοδώρα ἡ ἀδελφὴ κἀμοῦ τοῦ ἐν ἱερομονάχοις Κοσμᾶ ὀφείλει ἔχειν τὴν προῖκαν της εἰς ὅσον ἐστιχήθην παρὰ τοῦ πατρός μου ἤγουν ψωμιαρῶν ὀκτώ, καθὼς διαλαμβάνει τὸ ἑαυτῆς σύμφωνον. ἀπὸ τὸν δρόμον καὶ ἄνωθεν.

ἡ δ᾽ ἄλλη μου ἀδελφὴ ἡ Εἰρήνη ἐπροικίσθη τὰ πατρικὰ ἡμῶν εἰς τὴν Δανείαχαν.

37 Не следует ли исправить и понять: *Εἰς* <*τὴν στάσιν*> *τοῦ Τζιγκροῦ*? 69 *χαίαν* ркп. 85 Так как на л. 102 об. осталось более $1^1/_2$ строк недописанных, то больше в **143** ничего не было.

144. 6943/1434 г.; инд. 13, ноябрь; лл. 103 л. — 104 л.

Σίγνον | Βασιλικῆς — *τῆς Που | χηντόπουλος·* *Σίγνον | Κωνσταντίνου* — *τοῦ υἱοῦ | αὐτῆς·* 103 л.

Σίγνον | Μανουὴλ — *τοῦ υἱοῦ | αὐτῆς*

+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθοῦς ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

κἀγὼ Βασιλικὴ ἡ Πουχηντόπουλος, μετὰ τῶν γνησίων μου παίδων Κωνσταντίνου καὶ Μανουήλ, ἰδίᾳ ἡμῶν βουλῇ καὶ θελήσει καὶ αὐτοπροαιρέτῳ γνώμῃ παραδίδω τὰ γονικά μου τὰ πατρικά, ἅπερ κέκτημαι ἐν τῇ Χορτοκόπῃ, καὶ ἀλλαχοῦ ὅπερ εὑρίσκονται καὶ διαφέρουν με, ἐσωχώραφα καὶ ἐξωχώραφα, εἰς τὸν τίμιον | Πρόδρομον ἀπὸ τὰ τέσσαρα τὸ ἓν ἄδουλον, ὑπὲρ ψυχικῆς μου σωτηρίας 103 об. *καὶ ἀφέσεως τῶν ἁμαρτιῶν μου καὶ τῶν γονέων μου. καὶ ὁπόταν δύνωνται τὰ παιδία μου καὶ κάμνουσιν διχὸς πατραλοίας καὶ ἐκδουλεύουσιν τὴν μονήν, νὰ εἶναι ἐν προτιμήσει. καὶ ὁ βουλόμενος ἐνοχλῆσαι τὴν μονὴν ἕνεκεν τῆς παρούσης μου ληγατευτικῆς γραφῆς ἐχέτω τὸν Πρόδρομον ἀντίμαχον ἐν τῇ τῆς δίκης φρικτῇ ἡμέρᾳ καὶ ἐμῆς τῆς ἁμαρτωλοῦ τὴν ἀγανάκτησιν. ἔλαβον δὲ καὶ ἐγὼ τὰ συνήθη ὑπογραφιάτικα ἄσπρα ἑκατόν.*

ἥτις ἐγεγόνει ἐν μηνὶ νοεμβρίῳ ἰνδικτιῶνος ιγ´ τοῦ ͵ςϡμγ´ ἔτους.

κατὰ μαρτυρίας τῶν ἐκεῖσε τυχόντων μαρτύρων· Ἀκακίου μοναχοῦ τοῦ Χαλαμάνη· Θεριανοῦ τοῦ Μουζαρᾶ· Χριστοφόρου τοῦ Χαλαμάνη· καὶ ἑτέρων πολλῶν.

γέρων βασιλικὸς Ἰωάννης ὁ Μαϊστορόπουλος.
✠ ὁ καθηγούμενος τοῦ Ζαβουλὼν καὶ γραφεὺς τῆς τοιαύτης ὑφῆς Μακάριος ἱερομόναχος.

145. Века XV — XVI; л. 104 л. — об. (п. и.).

✠ καγο παπά γεόργης ο χοριἐπί‹σκοπος›.
✠ Κἀγὼ παπᾶ Γεώργις ὁ χωριεπίσκοπος καὶ ἡγούμενος τοῦ Ζαβουλῶν ἔκαμα διάλεξι μὲ τοὺς Χαψάντας διαλέξει τὰ καρύδια ἐδώκανε με τὸ Πολιτέσι τὸ καρύδι ᾽ς τὸ Γέφυρι τὸ μέρτικο νὰ τον καὶ τὸ Λευτοκαρα ᾽ς τὸ Παλ‹ε›οχαμελέτε καὶ τὸ φυτὸ τὸ στέκει ᾽ς τὸ Καπανιστὸν ‹Χρι›στοδούλο‹υ› τὸ κεπή, κ᾽ ἐδώκα τους ᾽ς τὴ Θέρ‹ι›σα ᾽ς το λιβάδ(ι) κ᾽ὅλο καὶ ᾽ς τὸ Χωρί‹ον› τό καρύδι τοῦ μα‹να›στήριου και (...) καντ(ζ)ου μο(υ) νουκ (......)
104 об. *| κατὰ μαρτυρίας τῶν τυχόντων μαρτύρων (......Χριστό)δουλος. Μακάριος ἱερομάναχος.*

146. Века XV; л. 104 об.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.
ἐγὼ Κουρύας ὁ Τζερτεύβης μὲ τὸν ἐξαδελφό μου ἐδώκαμε διὰ τὴ ψυχὴν ἐμου εἰς τὸν Πρόδρομον εἰς τὸν Βαζελὼν εἰς τὸν ἐξώπυργον εἰς τὸν Τίμιον Σταυρὸν καὶ κάτωθεν χοιν‹ι›κὸς τόπον ἀπὸ τράφο καὶ κάτωθεν καὶ ἐπερι τὸ Τζορτζῆν καὶ κρου(.) πλαγίως εἰς τὸ Ἀσκουφάπνη ἕως τὸ Κοβόριν εἰς τὸν Τίμιον Σταυρὸν κάτωθεν ψωμιαρῶν ιη᾽.
μάρτυρας Ἰενάκης ὁ Σαπούας καὶ Κώστας ὁ Μα(μ)πά(..ου).
γραφε‹ὑ›ς καὶ μάρτυρας παπᾶς Φουκᾶς ὁ Τζερτεύβης.

147. Века XV; лл. 104 об. — 105 л. (п. п.).

Κοι	*λάρης*
Χα	*μούρης*

✠ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.
ἐγὼ Ἰωάννης ὁ Χαμούρης ἔδωκα τὸ χωράφιον τὸ (Ηνα...)χα
105 л. *εἰς τὸ Χορτοκόπην εἰς τὸν Χαρμουτὰν τὸν | (........) ἀποκά-*

<τω>θεν τριῶν τησερετάρων χωράφην διὰ τὴν ψυχήν του καὶ διὰ τῆς συνβίας αὐτῆς καὶ διὰ τῶν παιδίων του. καὶ ὅποιος ἀπὲ τὸ μέρος του ἐνοχλεῖ α<ὐ>τό, νὰ ἔχῃ τὰς ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων ἡμῶν καὶ τὸν τίμιον Πρόδρομον τὸν Βαζελιώτε<ν ἀντίμαχον>.

κατὰ μαρτυρίας τῶν ἐκεῖσε τυχόντων παπᾶ Σαβούλης παπᾶ Λ

5 кажется, 1 верхняя строка на л. 105 л. пропала. 7 ὅποιος] ειπιος ркп., однако, ει может быть и ο. 11 текст не дописан.

148. Века XV; л. 105 л. (п. и.)

Σίγνον	Ροδάνας
τῆς	Μαρνόπουλος

✢ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ ἡ Ροδάνα ἡ Μαρνόπουλ(ος) ἔδωκα εἰς <τὸν> τίμιον Πρόδρομον τὸ χωράφιν τὸ ὅπερ εἶχα εἰς στὸ Φλοπάτην ἀπὸ ἄνωθεν τοῦ Ἁγίου Νικολάου τὸ δ<ι>όρισμα, καὶ ἀποκάτωθεν τὸ Τερμόνη. καὶ ἀπὲ τὴν μίαν μερέαν τὸ Ἀπίδιν, καὶ ἀπὲ τὴν ἄλ<λ>ην μερέαν τοῦ Καρμούτη τὸ σπίτι. διὰ μνημόσυνον τε <ἐ>μὸν καὶ τῆς θεγατερός μου τῆς δεσποινῆς. καὶ ὅποιος ἀπὲ τὸ μέρος μου ἐνοχλῆσαι, ἐχέ<τω> τὸν τίμιον Πρόδρομον ἀντίμαχον. ἐ<ν ἡμέρᾳ κρίσεως>

1 ркп. первоначально ροδονας. 10 текст не дописан; почерк и правописание как 147.

149. Века XV; лл. 105 об. — 106 л.

| ✢ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. 105 об.
ὡς καθὼς καὶ ἐσυνβιβάσθησαν ἡ μονὴ τοῦ Ζαβουλὼν μετὰ σοῦ Θεοδώρου τοῦ Ψαλενοῦ. καὶ ἔδωσα ἐγὼ Θεόδωρος ὁ Ψαλενὸς τόπον ἀντιλαγάδιν εἰς τοῦ Χουλίωνος τὸ λεγόμενον Μιτικαριώνην ἀπὸ τὰ τρία τὸ ἓν ἐκ τῆς ὁλότητος, ἀπὸ τὴν μονὴν καὶ ἀπὸ τὸν Καρπέτην τὴν γ' (μοῖρα)ν καὶ ἔδωσεν ἡ μονὴ πρὸς ἐσὲν Θεόδωρον τὸν Ψαλενὸν ἀντισαλαγ(ὴν) εἰς τὴν <Δ>ιανείαχαν τόπον τὸ λεγόμενον Σιλώ. τὸ κομάτιν (.....) τὸ ὅπερ κατέχει ἡ μονὴ ἀπὸ (......) ἱερομονάχου τοῦ Σαπούα. καὶ ἐποιήσαμεν ἀλλάγ(ὴν.....) εἰς τοὺς ἑξῆς καὶ ἅπαντα καὶ διηνεκεῖς χρόνους· (καὶ ἐάν τις εὑρεθῇ) ἐκ τοῦ μέρους (μου.........).

106 л. | ✝ κατὰ μαρτυρίας Μανουὴλ (ὁ Ῥωμανᾶς· Χριστοφόρος ὁ Χαλαμάνης) καὶ Ἀκάκιος μοναχὸς (ὁ Χαλαμάνης) καὶ Θεοδώρητος ἱερομόναχος ἐκκλησιάρχης.

✝ ὁ καθηγούμενος τοῦ τιμίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου τοῦ Ζαβουλὼν Κοσμᾶς ἱερομόναχος.

150. Конца XV века; л. 106 л. (п. и.).

✝ Μνήστητι κύριε καὶ συνχώρει τὴν ψυχὴν τοῦ δούλου τοῦ θεοῦ Ἀλέξι τοῦ Καρμούτη· ἔδωσε εἰς τὸν τίμιον Πρόδρομον τὸ χωράφι εἰς τὸ Πέδι τὸ Ὠκνὶ διὰ ψυχικῆς σωτηρίας, ἵνα ἔχῃ τὸν Πρόδρομον βοηθὸν ἐν ἡμέρᾳ κρίσεως.

151. Века XV; лл. 106 л., 105 об. (п. и.).

Σί | γνον

Μακα | ρίου ἱερομονάχου τοῦ Κουνούκης

✝ Ἐν ὀ<νό>ματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ Μακάριος ἱερομάναχος ὁ Κουνούκης ἐδώκα εἰς τὸν τίμιον Πρόδρομον τὸν Ζαβουλὼν τόπον τὸ ὅπερ εἶχα εἰς τὰ Μηλάρα. εἰς τὰ Βρακεῖα ἀπὸ τὴν μίαν μερέαν τοῦ μαναστηρίου, καὶ κάτωθεν ὁ Ἰανάκης, καὶ ἀπεκεῖθες ὁ Πολῆτες. πρὸς μνημόσυνον τῶν γονέων μου καὶ ἐμόν τε καὶ τῶν παιδίων μου. καὶ ὁ βουλόμενος ἐκσπάσαι αὐτὸ ἐκ τῆς μονῆς, ἵνα τὸν τίμιον Πρόδρομον ἀντίμαχον ἐν ὥρᾳ κρίσεως ἐχέτω.

105 об. κατὰ μαρτυρίας τῶν ἐκεῖσε τυχόντων μαρτύρων | Νικόλας Μαρνάς· μάρτυρας Χριστόδουλος Ξένος. Καθιστὸς Ἀδάμις· Λέως Μαρνάς· Κοιλάρης Χαμούρης (. . . . . .).

13 последняя строка вся срезана переплетчиком.

152. 6949/1440 г., инд. 4, сентября 21; лл. 106 об. — 107 л.

106 об. | Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθοῦς ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

κἀγὼ Ἰωάννης ὁ Τζακαρόπουλος οὐκ ἔκ τινος βίας ἢ ἀνάγκης ἢ χλεύης τινός, ἀλ‹λ›ὰ μετὰ πάσης βουλῆς καὶ θελήσεως καὶ ὁλοψύχου μου γνώμης δέδωκα τὸν γονικὸν (ἡμῶν) ἐν (δωβάδω το τηρκω . . . .) ἐν τῷ χωρίῳ Σάλαρι τὸ γονικόν μου (τὸ) ἀκρόστιχον ὅσον καὶ ἐπιλαχάνει με ἀπὸ τὸν ἀδελφόν μου τὸν Γεώργιν τὸ πατρικόν μου τὸ γονικόν μου (. . . . . .) δέδωκα αὐτὸ εἰς τὸν Πρόδρομον ὑπὲρ ψυχικῆς σωτηρίας εμι(. . . . .)του γεν(. . . . .) καὶ οὐκ ἔχει ἄδειά‹ν› τις ἐκ τοῦ μέρους μου εἴτε ἀδελφῶν εἴτε συγγενῶν εἴτε ἄλ‹λ›ος κανεὶς (. . . . . . ἢ) ἀνατρέψει τὴν θέλησιν (. . . . .) | ἂς ἔχει τὰς ἀρὰς 107 л.
τῶν τιη' θεοφόρων πατέρων (καὶ) τὴν ἀγανάκτησιν καὶ τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ τῆς κρίσεως αὐτοῦ.
ἐν μηνὶ σεπτευρίῳ εἰς τὰ κα' ἰνδικτιῶνος δ' ἔτους ,ςϡμθ'.

153. ‹6949/1440 г.›, инд. 4, л. 107 л. (п. н.).

+ Καὶ πάλι‹ν› ἐδωρήσατο ἐγὼ Ἰωάννης ὁ Τζακαρόπου‹λος› τοῦ γονικοῦ μου τὸ γυναίκειόν μου τὸ προικέο‹ν› μου εἰς τοῦ Κουτολυνᾶ, τὸ ὅπερ ἔχω μετ' υἱοὺς Κουτουληνᾶ ἀπὸ τὰ τρία τὸ ἕνα τὸν Θεόπτετον καὶ τὸν Σάβα ἀπὸ τὰ ῥειπιτόπια καὶ τὰ ὑπάμπαλα τόποι εἴστρα ἔχομε αὐτὰ καὶ τὰς ἐλαίας ἀπὸ τὰ τέσερα τὸ ἕννα ἐδωρήσατο καὶ αὐτὸ (τὸν ποι) εἰς τὸν τίμιον Πρόδρομον ὑπὲρ ψυχικῆς σωτηρίας ἐμόν τε καὶ τῆς συνβίου μου Θεοδώρας τῆς Κουτηλυνόπουλος. καὶ ‹εἴ› τις ἀνατρέψει τὴν θελητικήν μου δωρεάν, ἂς ἔχῃ τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ τῆς κρίσεως.
ἰνδικτιῶνος δ'.

154. 6950/1442 г., инд. 5; л. 107 об. (п. н.).

| + Μνήσθητι κύριε καὶ συγχώρει τὴν ψυχὴν τοῦ δούλου ‹σου› 107 об.
Γεωργίου τοῦ Βαρενῆ μετὰ τῆς συνβίου αὐτοῦ Μαρίας, ὅστις ἐδωρήσατο εἰς τὸν τίμιον καὶ αγιαγ(. . .) Πρόδρομον ἀργυρὸν καυκὶν ὄνομα πατ(η)ὰς ὑπὲρ ψυχικῆς σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτοῦ. καὶ τὴν παρὰ σοῦ ἀκοῦ‹σαι› φωνὴν τὸ δεῦτε οἱ εὐλογημένοι καὶ τὰ ἑξῆς.
ἔτους ,ςϡν' ἰνδικτιῶνος ε'.

155. 6986/1478 г., ‹инд. 11›; лл. 107 об.—108 л. (п. н.).

+ Μνήσθητι κύριε καὶ συγχώρησον τὴν ψυχὴν τοῦ δούλου σου Γεώργη τοῦ Παπαρωμανᾶ, ὅστις ἐδωρήσατο πρὸς τὴν μονὴν τοῦ

108 л. τιμίου Προδρόμου (τοῦ Βαζελων)|την εἰς τὸ Παξιματέσιν τὴν ἐμίσειαν. καὶ οὐκ ἔχει ἄδειαν κανεὶς ἐκ τὸ μέρος μου ἐνοχλήσει<ν> σε. καὶ οἷος ἐνοχλεῖ σε, νὰ ἔχει τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως.

μάρτυρας Κωνσταντῖνος ὁ Ἀμαπαντενὸς καὶ Γεώργης ὁ Φράζης.

γραφεὺς Μακάριος ἱερομάναχος.

͵ϛϡπς΄.

3 конец л. 107 об., может быть, лучше связывается с началом л. 108 л., если читать *(τὸν Βαξελιώ) | την.* 7 *ἀμαπαντενὸς* реставратор переправил в *ἀμαπαντενου.*

156. Второй полов. XV века; лл. 108 об. — 109 об.

108 об. |+ Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

κἀγὼ Ἰωα<ν>νίκιος μοναχὸς ὁ Μαστορόπουλος με(τὰ πάσης) μου βουλῆς καὶ θελήσεως.

(далее 3 или 4 строки выцвели и заняты текстом **187**).

109 л. |ασ τον ακηνη (. . . . .)
κον. τα ὅπερ εχω εις του (Κου-)
κουριου και αλλαχου ενθ (. . . . .)
αρα γονηκὸσ. οσων δε α (. . . . .)
μεσην τὰς μοματαφω (. . . . . .)
ἅμα δὲ καὶ το (. . . . . .)
τὸ σαρπὴν. (. . . . .)

(далее 5 или 6 строк выцвели и заняты текстом **187**).

109 об. |(. . . . .)ωσ ανωθεν
(. . . . .)τὴν παροῦσαν μου
(. . . .) ἐχέτω τὰσ ἀράσ
τῶν τι καὶ ὀκτὼ ἁγίων θεοφόρων
πρων καὶ τὸν τημιον πρόδρο-
μον ἀντίμαχον ἐν τῶ νῦν αἰῶνι
καὶ ἐν τῶ μελλοντη. ἡ δὲ παροῦσα
μου (. . . . . .)ια μένη εἰς (τὸν αἰῶν)α
(καὶ εἰς) ασφαλιαν αἰωνίζουσαν
(далее 2 строки выцвели и читается только последнее слово) μαρτιριας.

157a. Века XV; л. 109 об.—110 л. только начало:

(Σίγ)νον	*(.....)*
(.....)	*(.....)*

157b. Века XV; л. 110 л.

|(.........). 110 л.
παπᾶ Σάβας (......
καὶ μοναχο(......) Κων-
σταντῖνος ὁ Πι(λη)νας καὶ ἕ-
τερος Κωνσταντῖνος ὁ Πιληνας
καὶ Κωνσταντῖνος ὁ Χολι(άντρης)
Σάβας ὁ Χϊονΐων καὶ Ἰω(άννης ὁ .....)
καὶ ἑτέρων (πολλῶν).
+ ὁ γραφεὺς τοῦ (ὕφους.....)
ο λογογρ(άφ... ἄρχων .....)
(ὁ .....) όπουλος.

1 эта строка срезана, а между лл. 109 и 110 вырван, повидимому, 1 лист, если не больше; возможно, что сохранившийся конец принадлежит не к **157a**, а к другому документу; но не исключена возможность, что **157a** и **157b** составляют одно целое, поэтому они и значатся оба под **157**.

158. Века XV; л. 110 об. (п. и.).

|+ Μνήσθητι κύριε καὶ συγχώρει τὴν ψυχὴν τοῦ δούλου σου 110 об. *κυρ(οῦ) Συμεὼν μοναχοῦ τοῦ Μιλιότ(η) και τῆς συμβίου αὐτοῦ Εὐδοκίας καὶ τοῦ ῦἱοῦ αὐτοῦ Βασιλέϊου, ὅστις ἐδωρήσατο τὴν καθ' ἡμᾶς μονὴν τοῦ Ζαβουλῶν ἄσπρα ω' καὶ βιβλίον τετραβάγγελον. καὶ τάξει ὁ θεὸς τὴν ψυχὴν αὐτοῦ, ἔνθα οἱ δίκαιοι ἀναπαύβονται μετὰ τῶν ἁγίων δικαίων ἐκεῖ καὶ αὐτὸς συναριθμήσεις.*

159. 7073/1564 г., инд. 8, сентябрь; л. 110 об. (п. и.).

+ Κατὰ μῆνα σεπτέμβριον ἰνδικτιῶνος η' ἔτους ͵ζογ' ἡ μετριότης μου μὲ τῶν ἐκεῖ εὑρεθέντων κληρικῶν καὶ ἱερέων καὶ λαϊκῶν ἐμοιράξαμεν τὰ καματήφορα τοῦ Τζαρούα ταλόνι, τὸ εἶχεν τὸ μαναστήριν ἡ Βαζελὸς μετὰ τοῦ παπᾶ Μιχαὴλ <τοῦ> Κουνούκη. ἔλαβεν

τὸ μαναστήριν ἀπὸ τοῦ Πολίτου τὸ λωρὶν καὶ κάτωθεν τὸ κομάτιν καὶ τὸ κομάτιν τὸ πέραθεν, τὸ ἀποχωρεῖ τοῦ Πολίτου, καὶ ἄνωθεν τὸ ἀποσυνορεῖ τὸν Ἀγάγην. ἐπῆρεν καὶ ὁ παπᾶς Μιχαὴλ ἀπὸ τοῦ Πολίτου τὴν ἀποσυνόριν καὶ ἄνωθεν ἕως τοῦ Μιχαὴλ τοῦ Ξένου. καὶ ἤμην τῆς ἐκκλησίας ἡγούμενος. καὶ μηδεὶς περὶ τούτου ἐναντίως ὀφθῇ, ἵνα μὴ ὑπὸ βάρος ἐκκλησιαστικῶς παιδευθῇ.

✠ μητροπολίτης Τραπεζοῦντος (Μάξιμος).

3 ταλόνι не следует ли понять, как τ'ἀλώνι, т. е. τὸ ἀλώνι? 11 имя вырвано; оно вставлено по догадке, что Максим, упоминаемый под 1570 г. (Micl. et Müller, Acta, V, 177; A. Pasini, Codd. mss. bibl. Taurin., I, 424), правил и в 1564 г.

160. 6956/1448 г., ‹инд. 11›; л. 111 л. (п. и.).

111 л. | ✠ Μνήσθητι κύριε καὶ συγχώρει τὴν ψυχὴν τοῦ δούλου σου εὐλαβεστάτου ἱερέως Βασιλείου τοῦ Ξένου, συνβίου καὶ τῶν τέκνων αὐτοῦ, ὅτι ἔδωσαν εἰς τὸν τίμιον Πρόδρομον τόπον ψυχικῶν μεγάλων ψωμιαρῶν β' εἰς τὸν Τζαχλέαν, τὸ ὅπερ ἔχω ἀγορὰν τὸ Τερμονέσιν ἐπάνου τοῦ Ὀφρυδίου. καὶ ὅταν ἔχῃ ἀντίστασιν ἀπισκανηνάν ἐχο τέκει ἄσπρα οε'. ἂς εἶναι τοῦ μοναστηρίου ὑπὲρ ψυχικῆς δωρεᾶς ἐμοῦ τε καὶ τῆς συνβίου μου Βασιλικῆς πρεσβυτέρισας καὶ τῶν τέκνων ἡμῶν καὶ τῶν γενητόρων ἡμῶν.

μάρτυρας Θεόδωρος ὁ Φ(...)κων.

✠ ὁ καθηγούμενος τοῦ Ζαβουλὼν Μακάριος.

ἔτους ,ϛϠνϛ'.

5—6 ἀπισκανηνάν ἐχο τέκει не поддаются расшифрованию по смыслу, хотя буквы читаются ясно; не значит ли это ἐπεὶ 'ς κανέναν ἔχω?

161. Второй полов. XV века; лл. 111 об. — 112 л.

✠ Εἰς τὸ ὄνομα τοῦ θεοῦ καὶ πάντων τῶν ἁγίων.

κἀγὼ Γεώργιος ὁ Χαλαμάνης μετὰ πάσης μου βουλῆς καὶ θελήσεως καὶ μετὰ τῶν παίδων καὶ κληρονόμων μου ἐδώκαμεν εἰς τὸν τίμιον Πρόδρομον τὸ κεπὴν τὸ μερτικόν μου ἤγουν τὴν (ἡμίσειαν), τὸ ὅπερ ἔχομεν ψυχικὸν (..........) εἰς τοῦ Πολίτα τὸ ὀσπίτιν. (далее 8 или 9 строк выцвели).

112 л. | ἰνδικτιῶνος (далее конец строки выцвел).

κατὰ μαρτυρίας τῶν ἐκεῖσε τυχόντων Λαζάρου (τοῦ ....) καὶ Χριστοφόρου (τοῦ .....).

162. 6986/1478 г., ⟨инд. 11⟩; л. 112 л. (п. и.).

✠ *Εἰς τὸ ὄνομαν τοῦ Χριστοῦ καὶ πάντων τῶν ἁγίων.*

ἐγὼ Γεώργιος ὁ Φράζης μετὰ πάσης βουλῆς καὶ θελήσεως ἔδωκα εἰς τὸν τίμιον Πρόδρομον τὸ χωράφιν εἰς τὸ Κράνιν, τῆς μάνας μου τὴν προῖκαν. καὶ οἷος ὀχλήσει τὴ⟨ν⟩ μονήν, νὰ ἔχῃ τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως.

ἔτους ͵ςϠπς΄.

μάρτυρας Νικηφόρος ὁ Χαλαμάνης· καὶ Λεόν(τιος ὁ Ξένων)· καὶ Χαψᾶς ὁ Βασίλης.

163. Второй полов. XV века; лл. 112 об. — 113 л. (п. и.).

| ✠ *Μνήσθητι κύριε καὶ συγχώρει τὴν ψυχὴν τοῦ δούλου σου* 112 об.
Βασίλη τοῦ Φωμιάρη καὶ τῶν γονέων αὐτοῦ. ἔδωκεν εἰς τὸν τίμιον Πρόδρομον εἰς τοῦ Τζευτήλου τὸ χωράφιν ἤγουν τὴν προῖκαν τῆς μητρός μου. ἀποκάτωθεν τὸ Φρύδην, ἀποέθεν Ἀλεξόπουλος καὶ ἀπὸ ἄνωθεν ὁ Καλεπ(α)ν. καὶ εἰς τοῦ Τζερεκέρη τὸ Δουβεριτέσιν τὸ λωρίν, ὅσον με διαφέρει ἀπὲ τοὺς ἀδελφοὺς πάλι τῆς μητρός μου.
ἀποκά | τωθεν Ποπ(..) ὁ Φαργάνων καὶ ἀποάνωθεν τὸ Χρυσοστό- 113 л.
μου τὸ λωρίν. ὑπὲρ ψυχικῆς σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν μου καὶ τῶν γενητόρων μου. καὶ οὐκ ἔχει ἄδειαν κανεὶς ἐκ τοῦ μέρους μου ἐνοχλήσει⟨ν⟩ τὴν ἁγίαν μονήν. καὶ οἷος ἐνοχλήσει, νὰ ἔχῃ τὸν Πρόδρομον ἀντίμαχον ἐν ἡμέρᾳ κρίσεως.

μάρτυρας Ποπ(..) ὁ Φαργάνων· καὶ Μιχάλης ὁ Μελιάνων· καὶ Γεώργιος ὁ Ζαχάρης. (.........)ακον ὁ Μουγαλτάς (.......) νάβα καὶ ἑτέρων πολλῶν.

(✠ ὁ γραφεὺς καὶ) μάρτυρας ἡγούμ(ενος.....)
(далее 1 строка пропала).

164. Второй полов. XV века; лл. 113 об. — 114 л.

